- La guérison d'un paralytique dans une maison privée où Jésus a été invité à un débat ou à une « conférence » ; c'est encore par un « jeu » de mots, entendu à la lettre par des adversaires, que Jésus donne congé à la Loi qui « paralyse » (le jeu de mots libère les forces vitales).

Transition : Jésus invite Lévi, désœuvré (c'est le seul appel d'un disciple chez Silas) : un scribe installé dans l'ouvert du monde.

B- Deuxième moment : nourrir la vie.

- Le repas chez Lévi et le débat avec les Pharisiens : l'homme ne doit-il pas jeûner ? Non, il doit célébrer la vie (divine) qu'il porte en lui.
- Les épis arrachés le jour du sabbat (la satisfaction du besoin de nourriture, la demande de la vie, l'emporte sur le respect d'un commandement).
- Boutade que Jésus adresse à un homme qu'il voit travailler le jour du sabbat.

*Insertion, dans Silas, du premier « recueil de paroles » : la relation fondamentale est celle de l'accueil de l'autre (l'agapē) et non celle la philia (les relations entre obligés : il s'agit de ne pas s'enfermer dans un système de connivences)*

C- Le *logos* (parole – semence) contre la Loi (*nomos*)

- Questions sur Jean (fin de l'ancien).

- La courtisane s'invite au repas (« l'onction de Béthanie, chez Matthieu et Marc »). La vie n'est pas une dette que l'on doive payer à Dieu.

- La parabole du semeur et la raison des paraboles (la lente maturation de la parole chargée de vie divine).
- La lumière de la lampe (doit être exposée à tous : pas d'enseignement ésotérique).
- La vraie famille de Jésus* (problématique).

*Substitution du logos (la parole-semence) à la Loi (qui paralyse les énergies vitales) ; le logos implique une attitude du destinataire (il construit, lui aussi, du sens) qui s'oppose à celle d'un destinataire de la Loi (on n'échappe à son emprise que par des arguties stériles).*

D – Quatrième moment

Transition : la tempête s'apaise (son caractère de récit primitif peut être mis en doute, sans que l'on puisse en décider ; la traversée du lac marque une frontière entre deux espaces et deux époques, elle conduit à l'espace de la réalisation de soi)

- Guérison d'un possédé au pays de Gadara (en territoire païen : délivrer les forces de vie de l'emprise des cultes païens) : *impossible de reconstituer un texte primitif.*
- [Guérison de la femme affligée d'un flux de sang : adjonction probable, empruntée peut-être à la tradition orale recueillie par Papias ; il reste que l'épisode n'a pas été placé au hasard dans l'ensemble] ;
- Guérison de la fille de Jaïre ;

*Les trois épisodes, dont un seul est authentique, sont centrés autour de la libération des sources de la vie (Jésus est donateur non d'une loi, mais d'une parole de vie : de ce point de vue, il est « kurios »). Qualification du logos comme « parole qui donne la vie » (« semence », « sporos »).*

*Cet ensemble d'épreuves commence par une prise de congé de la loi, ce qui rend possible l'accès à une autre dimension de l'existence ou à un autre usage de la parole.*

Il découle de l'analyse précédente que la première suite s'inscrit dans un cadre (de l'épreuve qualifiante) et qu'elle est ordonnée : nous sommes conduits d'une situation de blocage et de paralysie dans un espace clos à un déblocage de la parole de vie dans l'espace du monde (lac, plaine, étranger, rue). Les épisodes épousent la logique spontanée d'un mouvement commençant par un geste de libération d'une oppression (*celle de la Loi d'Alliance de Moïse*), allant vers l'instauration d'un ordre nouveau établi sur une valeur jusqu'alors empêchée de s'exprimer (la vie comme parole, la parole de vie).

II- Performance : De la Galilée vers Jérusalem

Un épisode de transition (inquiétudes d'Hérode), introduit le thème de l'instauration du royaume, lié au récit de la montée vers Jérusalem.

A- Préparatifs

- La distribution de la nourriture, la mise en place de la troupe (*dans son état actuel, le récit a subi un remaniement consécutif à l'institution de l'eucharistie, après la rupture avec le judaïsme des Sages*) ;

- A quelles conditions est-il possible de suivre Jésus dans sa marche vers Jérusalem ? (Après la première multiplication des pains dans l'évangile de Marc, divers éléments, en rapport avec la problématique tardive du refus du message par les Juifs « orthodoxes », ont été rajoutés au récit de Simon) ;

- ces adjonctions centrales se concluent avec la guérison d'un enfant épileptique (« muet »), interpolée dans le récit de Silas ; dans Marc, l'épisode ponctue le thème de l'incompréhension des disciples sous le point de vue de leur incompétence ; il annonce l'effet de la foi en la résurrection : les disciples acquerront la compétence d'enseigner quand ils se tourneront, enfin, vers les païens.]

B – La progression vers Jérusalem (je ne relève, dans ce qui suit, que ce qui est commun à Luc et à Marc).

- Envoi des éclaireurs (les 72 !) sur la route de Jérusalem. Pas d'envoi des apôtres ! Etant donné que le groupe des disciples accompagnant Jésus dans sa montée vers Jérusalem ne devait guère dépasser la cinquantaine d'individus, le chiffre de soixante-douze éclaireurs est une invention, inspirée d'un passage des Ecritures juives (l'Exode ?). Jésus pouvait se contenter d'envoyer *deux* éclaireurs préparer l'arrivée du groupe dans les villages où ils devaient passer.
- La parabole du royaume (la graine de moutarde : dans le contexte de la parabole du semeur, chez Marc). *Probablement christienne.*
- On entre dans le royaume à condition d'être comme un enfant, figure du néophyte, du nouveau baptisé dans Marc.
- Les dix lépreux (un seul, un Samaritain, renonce à tirer profit de la « lèpre »).
- Les renâclements de l'homme riche (au cœur du royaume : le traitement des richesses ; c'est ce que l'homme fait de ses biens qui compte et non le respect des commandements).

C – Le démontage des mécanismes du pouvoir sacerdotal (Parabole du prétendant au trône : *en réalité, une fable politique, qui dénonce tout pouvoir despotique.*)

- L'entrée dans Jérusalem (sans fanfares ni tambours).
- A Jérusalem, les péripéties qui ont conduit à l'arrestation [les marchands chassés du temple ; la parabole des héritiers de la vigne ; l'impôt payé, …à Dieu ; la femme aux nombreux maris (la résurrection des justes) ; le paradoxe insoluble de David et de son fils, son « Seigneur » (les spécialistes de la Loi sont des emberlificoteurs) ; le don de la veuve (dénonciation du parasitisme du personnel du temple qui se nourrit de la faim des pauvres) ; il ne restera pas pierre sur pierre (le temple doit disparaître)].
- Le récit du dernier repas (la dernière pâque, ou le dernier « passage » : la venue du « règne de Dieu » implique la disparition des sacrifices en tant qu'institution détournant, sous les apparences d'offrandes faites à Dieu, la circulation des ressources vitales au profit d'une caste).

D – Un échec apparent

- L'arrestation,
- un procès parodique
- un marchandage
- et une exécution.

III – Sanction : un retournement du retournement :

- Des femmes venues pour la toilette funèbre ; faute de cadavre, des parfums devenus sans emploi.

Il est remarquable que ce noyau narratif soit conforme au schéma du programme narratif (Manipulation : Nazareth et dans la synagogue de Capharnaüm. Epreuve qualifiante : délivrance de la paralysie de la loi ; tous les jours sont jours de sabbat, d'un travail qui donne la vie ; Jésus est donateur d'une parole de vie et non d'une loi).L'épreuve est suivie de la performance : les premiers moments de la mise en place du royaume et de ce qui, pour l'instauration du royaume, est décisif : l'usage des richesses. La sanction articule de manière dialectique trois moments : le triomphe doctrinal (idéologique) est suivi d'un retournement (l'arrestation et la condamnation à mort) auquel succède un retournement du retournement : le tombeau vide. L'enseignement d'un maître de vie peut-il mourir ?

Que le schéma de vie d'un réformateur épouse étroitement, dans le récit spontané qu'en fait un témoin, celui d'un programme narratif canonique, cela n'est pas étonnant. D'abord, il est probable que le programme narratif dérive des scénarios d'initiation. Ensuite, un réformateur rompt avec les conventions de son groupe ; ce faisant, il doit justifier ce qui l'autorise à cette rupture (il doit faire la preuve de sa compétence) ; il lui faut ensuite proposer un modèle concret

qui se substitue à l'ancien et montrer quel est le centre de gravité de l'organisation qu'il propose ; vient alors le moment de la sanction, de la réussite ou de l'échec de l'entreprise.

**Un constat important : la suppression de tous les épisodes d'inspiration chrétienne et / ou comportant des traces de sémitisme, n'affecte en rien la cohérence d'un récit et n'enlève rien à sa complétude. Pour l'intelligence du personnage Jésus de Nazareth, elle offre un gain appréciable : elle le dépouille de tout trait « divin », elle permet de dégager le portrait d'un Sage tel qu'il y en eut peu, dans l'Antiquité du bassin méditerranéen, ou à peu près aucun autre, à ce point soucieux de la qualité de vie de tous les êtres humains et de leur respect.**

Texte de l'Enseignement de Jésus

*Préambule*

1.1 Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων,

1.2 καθ' ἅ παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου,

1.3 ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν, ἀκριβῶς καθεξῆς σοι γράψαι, Κράτιστε θεόφιλε,

1.4 ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν.

*Jean, le baptiste – Son arrestation – Début de la vie publique*

3.1 Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, *ἐπιτροπεύοντος* Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετρααρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετρααρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετρααρχοῦντος,

3.2 ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ.

3.3 καὶ ἦλθεν εἰς πᾶσαν *τὴν* περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν,

> 3.4 [ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἠσαίου τοῦ προφήτου· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.
>
> 3.5 πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας·
>
> 3.6 καὶ ὄψεται πᾶσα σάρξ τὸ σωτήριον τοῦ θεοῦ.]

3.7 Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι *ἐνώπιον* αὐτοῦ· Γεννήματα ἐχιδνῶν, τίς *ὑμῖν* ὑπέδειξεν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς ;

3.8 ποιήσατε οὖν *καρπὸν ἄξιον* τῆς μετανοίας· καὶ μὴ ἄρξησθε λέγειν ἐν *αὑτοῖς*[13]· Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

3.9 ἤδη δὲ (καὶ) ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρποὺς καλοὺς ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

3.10 Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες· Τί οὖν ποιήσωμεν[14];

3.11 ἀποκριθεὶς δὲ ἔλεγεν αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω.

3.12 ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι καὶ εἶπαν πρὸς αὐτόν· Διδάσκαλε, τί ποιήσωμεν;

3.13 ὁ δὲ εἶπεν *αὐτοῖς*[15]· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε.

3.14 ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες· Τί ποιήσωμεν *ἵνα σωθῶμεν; ὁ δὲ* εἶπεν αὐτοῖς· Μηδένα διασείσητε μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.

3.19 ὁ δὲ Ἡρῴδης ὁ τετραάρχης,

3.20 *ἐνέκλεισεν* [16] τὸν Ἰωάννην ἐν φυλακῇ.

3.23 ἦν δὲ Ἰησοῦς ὡς ἐτῶν τριάκοντα ἀρχόμενος, *ὅς*[17] ἐνομίζετο εἶναι υἱὸς Ἰωσὴφ τοῦ Ἰακώβ...

---

[13] Manuscrits ἑαυτ-, le plus souvent écrit AYT- dans le Codex, qu'il faut donc lire avec aspiration, αὑτ-.

[14] D ajoute : ἵνα σωθῶμεν, « afin que nous soyons sauvés.

[15] Dans D, le datif avec ce verbe est plus fréquent que πρὸς αὐτούς.

[16] D : ΕΝΕΚΛΙΣΕ ; le copiste écrit indifféremment /ei/ i ou ei. Partout ailleurs : κατέκλεισε ou ἀπέκλεισε. Il semble que la copie ait été faite en (grande ?) partie sous dictée.

[17] D, dont j'adopte le texte, porte : « ἦν δὲ Ἰησους ὡς ἐτῶν λ' ἀρχόμενος, ὡς ἐνομίζετο εἶναι, υἱὸς Ἰωσήφ... » La syntaxe ne se comprend que si l'on corrige ὡς ἐνομίζετο en ὅς ἐνομίζετο, « lui qui était traité comme le fils de Joseph » ou bien « lui qui était considéré comme le fils de Joseph. »

*Dans la synagogue de Nazareth : Jésus invite à s'affranchir de la Loi d'Alliance de Yahvé avec son peuple (= Loi de Moïse)*

4

4.15 καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς (αὐτῶν), [~~δοξαζόμενος ὑπὸ πάντων~~].

4.16 *ἐλθὼν δὲ εἰς Ναζαρέδ, ὅπου* ἦν τεθραμμένος, εἰσῆλθεν κατὰ τὸ εἰωθὸς (αὐτῷ) ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι.

4.17 καὶ ἐπεδόθη αὐτῷ βιβλίον τοῦ προφήτου Ἠσαίου, καὶ ἀναπτύξας τὸ βιβλίον εὗρεν τὸν τόπον οὗ ἦν γεγραμμένον·

4.18 Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με εὐαγγελίσασθαι πτωχοῖς, *ἀπέσταλμαι κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυματισμένους ἐν ἀφέσει,*

4.19 κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν.

4.20 καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν· καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀτενίζοντες αὐτῷ.

4.21 ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς· Σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.

4.22 Καὶ πάντες ἐμαρτύρουν αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος[18] τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἔλεγον, Οὐχὶ υἱός *Ἰωσήφ* ἐστιν οὗτος;

4.23 καὶ εἶπεν πρὸς αὐτούς· Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· Ἰατρέ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν *γεινόμενα* εἰς Καφαρναοὺμ ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου.

4.24 εἶπεν δέ· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι *αὐτοῦ.*

4.25 ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν· πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν

4.26 καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδωνίας πρὸς γυναῖκα χήραν.

4.27 καὶ πολλοὶ λεπροὶ ἦσαν ἐν τῷ Ἰσραὴλ ἐπὶ Ἐλισαίου τοῦ προφήτου καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Ναιμὰν ὁ Σύρος.

4.28 οἱ δὲ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούσαντες ταῦτα,

4.29 καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἤγαγον αὐτὸν ®ως *τῆς* ὀφρύος τοῦ ὄρους ἐφ' οὗ ἡ πόλις *ᾠκοδόμηται* [19] αὐτῶν, ὥστε κατακρημνίσαι αὐτόν:

4.30 αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο.

*Jésus libère un possédé de son démon (invite à sortir de la synagogue)*

4.31 καὶ κατῆλθεν εἰς Καφαρναοὺμ πόλιν τῆς Γαλιλαίας. καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασιν,

4.32 [καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ[20]].

4.33 *ἦν δὲ ἐν τῇ συναγωγῇ* ἄνθρωπος ἔχων πνεῦμα δαιμόνιον ἀκάθαρτον, καὶ ἀνέκραξεν φωνῇ μεγάλῃ,

4.34 Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ[21]; ἦλθες *ὧδε ἡμᾶς* ἀπολέσαι; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ.

4.35 καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων· Φιμώθητι καὶ ἔξελθε ἀπ' αὐτοῦ. καὶ ῥῖψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον *ἀνακραυγάσαν τε*[22] (?) ἐξῆλθεν ἀπ' αὐτοῦ μηδὲν βλάψαν αὐτόν.

---

18 Τῆς χάριτος. Sur ce génitif, voir note 19 à la traduction (vers 4, 22).

19 D : οἰκοδόμηται ; s'il s'agit bien d'un parfait, ce que semble confirmer ᾠκοδόμητο de certains manuscrits, il doit être écrit ᾠκοδόμηται. Le parfait signifie « où l'on bâtit et rebâtit la ville ». Ce parfait passif présent, écrit avec une erreur d'orthographe, ne se trouve que dans D. C'est, en vérité, la forme verbale qui s'impose.

20 Contradictoire avec ce qui suit ; ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ : septantisme.

21 D : Ναζωρηναι (correction). La forme paraît être une tentative, agrammaticale, de synthèse entre Ναζωραῖος et Ναζαρηνός ! Elle est significative des formes aberrantes que l'on peut rencontrer dans D.

22 Trait probablement emprunté à l'évangile de Marc. Ἀνακραυγάζω est d'un emploi fort rare (dans la littérature du premier siècle, une occurrence unique chez Epictète).

4.36 καὶ ἐγένετο θάμβος (*μέγας* ?) ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους λέγοντες· Τίς ὁ λόγος οὗτος, ὅτι[23] ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασιν καὶ ἐξέρχονται;
4.37 καὶ *ἐξῆλθεν ἡ ἀκοὴ* περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου[24].

5
*La pêche : « Ne vous contentez pas de pêcher des poissons ! »*

5.1 Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ *τοῦ*[25] ἀκούειν *τὸν λόγον αὐτοῦ ἑστῶτος*[26] παρὰ τὴν λίμνην Γεννησαρέτ,
5.2 καὶ εἶδεν δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀπ' αὐτῶν ἀποβάντες ἔπλυνον τὰ δίκτυα.
5.3 ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν Σίμωνος, ἠρώτησεν αὐτὸν *ἐπαναγαγεῖν ἀπὸ τῆς γῆς ὅσον ὅσον*[27] *καὶ* καθίσας ἐκ τοῦ πλοίου ἐδίδασκεν τοὺς ὄχλους.
5.4 *ὅτε* δὲ ἐπαύσατο λαλῶν, εἶπεν πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.
5.5 ὁ δὲ Σίμων *ἀποκριθεὶς* εἶπεν· Ἐπιστάτα[28], δι' ὅλης νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὰ δίκτυα.
5.6 καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος ἰχθύων πολύ, διερρήσσετο δὲ τὰ δίκτυα αὐτῶν.
5.7 καὶ *κατένευον* τοῖς μετόχοις ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας *βοηθεῖν* αὐτοῖς· *ἐλθόντες οὖν*, ἔπλησαν ἀμφότερα τὰ πλοῖα ὥστε *παρά τι* βυθίζεσθαι αὐτά.
5.8 *ὁ δὲ Σίμων* προσέπεσεν τοῖς *ποσὶν* τοῦ Ἰησοῦ λέγων· *Παρακαλῶ*, ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, κύριε.
5.9 θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ὧν συνέλαβον.

---

23 Τίς ὁ λόγος οὗτος, ὅτι… En grec standard la formulation aurait été : Τί τὸ ῥῆμα τοῦτο ὅ τι... Silas, le traducteur des notes en araméen de Matthieu a-t-il voulu respecter une façon de parler locale ? Sous l'emploi de λόγος devons-nous entendre la notion biblique de « dabhar », « le fait » / « la parole qui fait être ce qu'elle énonce » ?

24 Versets 38 à la fin du chapitre. La guérison de la belle-mère de Pierre embraye sur un récit de nombreuses guérisons et expulsions de démons qui sortent des possédés en criant « Tu es le fils de Dieu » ; Jésus ne les laisse pas dire qu'il était le Christ. L'ensemble est parsemé de sémitismes (emploi du pluriel, par exemple, pour exprimer l'impersonnel) ; D porte la mention que Jésus est entré dans la « maison de Pierre et d'André ». L'affirmation est contemporaine de l'écriture des trois evangiles dits synoptiques (années 100 – 110).

25 Il nous faut prêter attention à la syntaxe et au lexique de cette première phrase. L'emploi de ἐγένετο est une manière araméenne, adoptée par Silas, d'introduire un nouvel épisode (un indice qu'il traduit de l'araméen : jamais la formule n' est employée dans les Actes). Il faut tenir compte de la formulation grécisée complète : ἐγένετο ἐν τῷ ... ἐπικεῖσθαι..., καὶ ... + verbe conjugué. Dans le contexte, la construction est donc : ἐγένετο ἐν τῷ ... καὶ αὐτὸς ἦν... « Il arriva, tandis que la foule le pressait…, que (καὶ) lui-même était immobilisé et qu'il vit… » Ensuite, on pourrait certes entendre ἐγένετο ἐν τῷ ἐπικεῖσαι καὶ ἀκούειν..., que les deux infinitifs sont au même niveau et dépendent de ἐν τῷ... Mais Jésus doit justement s'éloigner de la foule pour pouvoir parler. Il est préférable de considérer que ἀκούειν est complément de but de ἐπικεῖσθαι ; c'est exactement ce que suggère l'emploi du syntagme τοῦ ἀκούειν dans D ; ὄχλος désigne donc la cohue qui se presse dans les rues ou sur les bords d'un lac.

26 D : ἀκούειν τὸν λόγον τοῦ θεοῦ ἑστῶτος αὐτοῦ : ἀκούειν τὸν λόγον αὐτοῦ ἑστῶτος Correction personnelle. Pour la justification, voir note de la traduction* au verset.

27 Seul D propose ὅσον ὅσον. L'expression est attestée chez Aristophane. Elle détermine un groupe, un adverbe, par exemple μικρόν, et signifie, dans ce cas-là, « un tout petit peu ». Elle détermine en contexte le groupe ἀπὸ τῆς γῆς ; le sens est donc : « il lui demanda de s'éloigner de la terre « autant autant », soit « il lui demanda de s'éloigner un tout petit peu de la terre ».

28 D porte διδάσκαλε (« Maître ») ; * il complète ἐπὶ δὲ τῷ ῥήματί σου par οὐ μὴ παρακούσομαι (« il n'y a pas de risque que je n'obéisse pas »). Une main pieuse s'est permis de gommer ce qu'il y avait de manifestement ironique dans le propos de Simon. Le *CB* a subi les effets des lectures édifiantes et il n'est donc malheureusement pas toujours fiable. Un texte du Nouveau Testament (mais, à mon sens, il en va de même de tous les textes antiques) ne peut pas être établi sans tenir compte de toutes les leçons attestées dans les manuscrits.

5.10 *ἦσαν δὲ κοινωνοὶ αὐτοῦ Ἰακωβος καὶ Ἰωαννης υἱοὶ Ζεβεδαιου.* ὁ δὲ [Ἰησους] εἶπεν αὐτοῖς·
*Δεῦτε καὶ μὴ γείνεσθε ἁλιεῖς ἰχθύων, ποιήσω γάρ ὑμᾶς ἁλιεῖς ἀνθρώπων.*
5.11 *οἱ δὲ ἀκούσαντες πάντα κατέλειψαν*[29] *ἐπὶ τῆς γῆς καὶ* ἠκολούθησαν αὐτῷ[30].

[Le lépreux
[...]
*Le paralytique : « Qu'est-il plus facile de dire à un être humain : 'Tes péchés te sont pardonnés' ou bien 'Lève-toi et débarrasse-toi de ce qui t'entrave' ? »*

5.17 Καὶ ἐγένετο ἐν μι, τῶν ἡμερῶν καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι
καὶ νομοδιδάσκαλοι οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας
(καὶ Ἰουδαίας καὶ Ἰερουσαλήμ·) [καὶ δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτόν[31].]
5.18 καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν
εἰσενεγκεῖν καὶ θεῖναι [αὐτὸν] ἐνώπιον αὐτοῦ.
5.19 καὶ μὴ εὑρόντες ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ
τῶν κεράμων[32] καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ.
5.20 ἰδὼν *δὲ Ἰησοῦς* τὴν πίστιν αὐτῶν εἶπεν· Ἄνθρωπε· ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.
5.21 καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι λέγοντες· *Τί (δέ); οὗτος* λαλεῖ
βλασφημίας· τίς δύναται ἁμαρτίας ἀφεῖναι εἰ μὴ μόνος ὁ θεός;
5.22 ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς· Τί
διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;
5.23 τί ἐστιν εὐκοπώτερον εἰπεῖν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν· Ἔγειρε καὶ
περιπάτει;
5.24 ἵνα δὲ εἰδῆτε ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἐξουσίαν ἔχει ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας – εἶπεν
τῷ παραλελυμένῳ· Σοὶ λέγω· ἔγειρε καὶ ἄρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου.
5.25 καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ' ὃ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον
αὐτοῦ, [δοξάζων τὸν θεόν].
5.26 [~~καὶ ἔκστασις ἔλαβεν ἅπαντας καὶ ἐδόξαζον τὸν θεόν καὶ ἐπλήσθησαν φόβου λέγοντες
ὅτι Εἴδομεν παράδοξα σήμερον~~.]

*Matthieu : Mettre les compétences du scribe au service de la parole et non du pouvoir*

29 Κατέλειψαν, au lieu de κατέλιπον, peut être maintenu ; cette forme de l'aoriste est attestée dans l'œuvre de Lucien. Ce que nous lisons dans D (en italiques, donc), laisse clairement entendre que, « laissant tout sur place », Simon et ses compagnons ont laissé gracieusement les poissons aux gens présents. On ne vend pas ce qui a été attrapé par aubaine. En revanche, ils n'ont pas tout abandonné pour ne plus suivre que Jésus. Ce dernier a refusé de former une école, dans laquelle il n'aurait pu recevoir que des fils de la classe de loisir. Les pêcheurs ont continué à travailler, pour gagner de quoi vivre.

30 L'emploi de l'aoriste ἠκολούθησαν signifie soit que Simon et ses compagnons « ont suivi Jésus » à ce moment-là, laissant leur pêche sur place, à la libre discrétion des habitants, soit que, à partir de ce moment-là, « ils ont suivi la voie de Jésus » ; ils ont mis leur barque à la disposition de son enseignement (ils se sont conduits non selon les normes de la loi mosaïque, mais selon les règles, variables, de la générosité). Les deux valeurs se confortent l'une l'autre.

31 καὶ δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτόν : l'authenticité « silasienne » de cette proposition est fort douteuse. Nulle part ailleurs n'apparaissent dans le troisième évangile l'expression δύναμις κυρίου, ni surtout la construction εἰς τὸ ἰᾶσθαι αὐτόν (εἰς + article (neutre) est toujours suivi d'un groupe nominal). Si nous suivions la lecture de D, où il n'est pas question de « puissance du Seigneur », ce sont les « pharisiens et les docteurs de la loi », qui seraient venus de partout pour que Jésus « les guérisse » !

32 Il s'agit là de l'un ces passages où la copie du *CB* a été composée avec l'appui du récit marcien.

5.27 Καὶ *παράγων εἶδεν Ματθαῖον [Λευὶν] καθήμενον ἐπὶ τὸ τελώνιον*[33], καὶ εἶπεν αὐτῷ· Ἀκολούθει μοι.

5.28 καὶ καταλιπὼν πάντα ἀναστὰς *ἠκολούθει* αὐτῷ.

5.29 Καὶ ἐποίησεν δοχὴν μεγάλην Ματθαῖος [Λευὶς] αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἦν ὄχλος πολὺς τελωνῶν καὶ ἄλλων οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι.

5.30 καὶ [~~οἱ Φαρισαῖοι καὶ~~] οἱ γραμματεῖς *ἐγόγγυζον* πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες, Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν *ἐσθίεται καὶ πίνεται* ;

5.31 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτούς· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ ἀλλὰ οἱ κακῶς ἔχοντες·

5.32 [~~οὐκ ἐλήλυθα καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν~~.]

5.33 Οἱ δὲ εἶπαν πρὸς αὐτόν· *Διὰ τί οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ μαθηταὶ τῶν φαρισαίων* νηστεύουσιν πυκνὰ καὶ δεήσεις ποιοῦνται, οἱ δὲ μαθηταί σου οὐδὲν τούτων ποιοῦσιν;

5.34 ὁ δὲ Ἰησοῦς εἶπεν πρὸς αὐτούς· Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος ἐφ' ὅσον ἔχουσιν τὸν νυμφίον μεθ' αὐτῶν νηστεύειν.

5.35 ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος τότε νηστεύσουσιν, ἐν ἐκείναις ταῖς ἡμέραις.

5.36 Ἔλεγεν δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι Οὐδεὶς ἐπίβλημα ἀπὸ ἱματίου καινοῦ σχίσας ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίσει καὶ τῷ παλαιῷ οὐ συμφωνήσει τὸ *ἀπὸ τοῦ καινοῦ ἐπίβλημα*.

5.37 καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήξει ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς *τοὺς παλαιούς*, καὶ αὐτὸς ἐκχυθήσεται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται·

5.38 ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς *βάλλουσιν*.

*Les épis de blé : Dieu ne peut avoir donné une loi qui entrave la vie, sa vie*

6

6.1 Ἐγένετο δὲ ἐν σαββάτῳ διαπορεύεσθαι αὐτὸν διὰ σπορίμων· *οἱ δὲ μαθηταὶ αὐτοῦ ἤρξαντο τίλλειν τοὺς στάχυας καὶ ψώχοντες ταῖς χερσίν* ἤσθιον.

6.2 τινὲς δὲ τῶν Φαρισαίων *ἔλεγον αὐτῷ· ἰδὲ τί ποιοῦσιν οἱ μαθηταί σου τοῖς σάββασιν, ὃ οὐκ ἔξεστιν*.

6.3 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς ἔλεγεν πρὸς αὐτοὺς· *Οὐδέποτε* τοῦτο ἀνέγνωτε ὃ ἐποίησεν Δαυὶδ ὅτε ἐπείνασεν αὐτὸς καὶ *οἱ σὺν αὐτῷ* ;

6.4 *εἰσελθὼν* εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, καὶ ἔδωκεν *τοῖς μετ' αὐτοῦ, οἷς οὐκ ἐξὸν ἦν φαγεῖν εἰ μὴ μόνοις τοῖς ἱερεῦσιν*;

6.5 καὶ ἔλεγεν αὐτοῖς, Κύριός ἐστιν τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου.

*Τῇ αὐτῇ ἡμέρᾳ θεασάμενός τινα ἐγαζόμενον τῷ σαββάτῳ εἶπεν αὐτῷ· Ἄνθρωπε· εἰ μὲν οἶδας τί ποιεῖς, μακάριος εἶ· εἰ δὲ μὴ οἶδας, ἐπικατάρατος καὶ παραβάτης εἶ τοῦ νόμου*[34].

*La guérison de la main*

Plusieurs indices, de langue et de contenu, invitent à conclure qu'il s'agit là de l'invention d'une guérison dans le contexte de la rédaction de l'Evangile de Luc. La notion de « main desséchée » est étrangère à la tradition médicale grecque.

*Des règles de conduite (et non des articles de loi) pour contenir la force*

*Comment se comporter en situation de violence*

---

33 J'adopte le texte du *CB* (D) et donc le groupe καθήμενον ἐπὶ τὸ τελώνιον ; seul l'accusatif permet d'exprimer l'idée que « Lévi » est assis contre le bâti (le bureau) dans lequel il reçoit les taxes, à l'extérieur, parce qu'il est désœuvré ! « Viens, j'ai du boulot pour toi ! » lui a fait comprendre Jésus.

34 La sentence n'est attestée que par le Codex, où le verset 5 est placé après la guérison de la main desséchée. Il est vraisemblable que telle était sa place : elle sert de conclusion à l'ensemble des apophtegmes portant sur le sabbat. L'usage du sabbat par le Nazaréen me paraît simple : on peut travailler le jour du sabbat si l'on travaille pour le sabbat, c'est-à-dire dans le sens d'un travail qui donne la vie.

6.12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξελθεῖν αὐτὸν

6.17 καὶ ἔστη ἐπὶ τόπου πεδινοῦ καὶ ὄχλος πολὺς μαθητῶν αὐτοῦ
6.18 οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ...

6.20 Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγεν, [~~Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ~~[35]]

Il nous faut supposer à cet endroit quelque chose comme λελάκατε, « Vous ne faites que répéter » : « Malheur aux riches ! » Seule une forme de la sorte permet de comprendre la logique de l'enchaînement en 6. 27 : « Eh bien moi, je vous rétorque… »
6. 24 οὐαὶ [ὑμῖν] τοῖς πλουσίοις…

6.27 Ἀλλὰ ὑμῖν λέγω τοῖς ἀκούουσιν·
ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν,
καλῶς ποιεῖτε τοῖς μισοῦσιν[36] ὑμᾶς,
6.28 εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς,
προσεύχεσθε περὶ τῶν ἐπηρεαζόντων ὑμᾶς.

6.29 τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα πάρεχε *αὐτῷ* καὶ τὴν ἄλλην καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς,
6.30 παντὶ *δὲ τῶι* αἰτοῦντί σε δίδου καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει.

6.31 καὶ καθὼς θέλετε ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς[37] ;
6.32 καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺτο ποιὗουσιν· τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσιν.

---

35 Pour le Christ, peut-être, « le royaume de Dieu » est réservé aux mendiants. Pour Jésus, le règne de Dieu n'exclut, par définition, aucun être humain, et même, aucun être vivant.

36 Au lieu de μισοῦσιν faudrait-il lire μειοῦσιν, « ceux qui vous amoindrissent », « qui vous rabaissent » ?

37 καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ποιεῖτε αὐτοῖς ὁμοίως. Tel est le texte attesté pour « Luc ». Marcion proposait la lecture suivante : *kai kathōs humin ginesthai thelete para tōn anthrōpōn, houtō kai humeis poieite autois.* L'évangile de Matthieu formule la règle de la façon suivante (7, 12) : Πάντα οὖν ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. La suite du texte de Silas montre que Jésus pousse la règle jusqu'à la limite d'un renversement paradoxal. La règle qu'il énonce, de la grâce, de ce que Matthieu appelle *perisson ti poiein*, « faire quelque chose en plus », est une invitation à introduire, dans le système universel des équivalences selon la règle d'or, un surplus (une *kharis* dit Silas) qui n'entre dans aucun calcul. Or il est exclu que la formulation retenue par les éditeurse de « Luc », *Kai kathōs thelete hina poiōsin humin hoi anthrōpoi, poieite autois homoiōs* soit celle de Silas ; la construction *thelete hina* n'est pas conforme à l'emploi du grec de la *koinè* (θέλω / ἐθέλω, « je veux » est construit soit avec l'infinitif, soit avec le subjonctif sans conjonction de subordination) ; elle est sans doute transposée de Matthieu. La bonne solution, à mes yeux, est dans la correction de l'araméisme (*Kai kathōs <u>thelete hina poiōsin</u> humin hoi anthrōpoi* > *Kai kathōs <u>thelete poiōsin</u> humin hoi anthrōpoi* ), l'adoption de la leçon de Marcion pour le second membre de la phrase (οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς), dont « Matthieu » est proche à une correction près du grec (οὗτως pour οὗτω devant consonne), et la transformation de la phrase en interrogative, d'où : καὶ καθὼς θέλετε ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς; La simple interrogation permet de renchérir sur la règle d'or. Retentissement fort différent d'une même proposition selon les contextes : Jésus, en relativisant la validité de la règle d'or, la transforme en instrument de renversement de la « loi » ; pour Matthieu, la règle « résume la loi et les prophètes ». Le Jésus de Silas « déconstruit », Jésus-Christ, selon Matthieu, « récupère » toute la loi. Il est heureux que le crime christien n'ait pas été parfait, et que l'on n'ait pas fait disparaître purement et simplement le texte de Silas.

6.33 καὶ *εἰ ἀγαθοποιεῖτε*[38] τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία χάρις *ὑμῖν* ἐστίν; καὶ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν.

6.34 *κἂν δανείζητε* παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις *ἐστίν*; καὶ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσιν τὰ ἴσα.

6.35 πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ ὑψίστου (?), ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς.

6.36 *Γείνεσθε* οὖν οἰκτίρμονες καθὼς [καὶ] ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν.

6.37 Καὶ μὴ κρίνετε *ἵνα* μὴ κριθῆτε· καὶ μὴ καταδικάζετε ἵνα μὴ καταδικασθῆτε· ἀπολύετε, καὶ ἀπολυθήσεσθε·

6.38 δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλὸν πεπιεσμένον σεσαλευμένον ὑπερεκχυννόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· ᾧ γὰρ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν.

6.39 Εἶπεν δὲ καὶ παραβολὴν αὐτοῖς· Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν· οὐχὶ ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται;

6.40 οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον· κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ.

6.41 Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς;

6.42 πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου· Ἀδελφέ, ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σοῦ δοκὸν οὐ βλέπων; ὑποκριτά·

ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ καὶ τότε διαβλέψεις *ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ* τοῦ ἀδελφοῦ σου.

6.43 Οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν οὐδὲ πάλιν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν.

6.44 ἕκαστον γὰρ δένδρον ἐκ τοῦ καρποῦ αὐτοῦ γινώσκεται· οὐ γὰρ ἐκλέγεται ἐξ ἀκανθῶν σῦκα οὐδὲ ἐκ βάτου σταφυλή[39].

6.45 ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὸ ἀγαθόν, καὶ ὁ πονηρὸς ἐκ τοῦ πονηροῦ προφέρει τὸ πονηρόν: ἐκ γὰρ περισσεύματος καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

6.46 *Τί δέ με λέγετε κύριον* [40] καὶ οὐ ποιεῖτε ἃ λέγω;

6.47 πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος·

6.48 ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψεν καὶ ἐβάθυνεν καὶ ἔθηκεν θεμέλιον ἐπὶ τὴν πέτραν· *πλημύρας*[41] δὲ γενομένης προσέρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἴσχυσεν σαλεῦσαι αὐτὴν διὰ τὸ καλῶς οἰκοδομῆσθαι αὐτήν.

---

38 D : εἰ ἀγαθοποιῆτε. L'écriture εἰ implique ensuite l'usage de l'indicatif (simple hypothétique).

39 Correction personnelle. La vulgate porte : «οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα οὐδὲ ἐκ βάτου σταφυλὴν τρυγῶσιν. » Or ces deux verbes au pluriel pour exprimer l'impersonnel sont des araméismes. D porte ἐκλέγονται σῦκα ; la forme passive est correcte, le pluriel ne l'est pas ; mais ce pluriel peut s'expliquer par une correction du copiste pensant que le singulier qu'il lisait était une erreur.

40 Correction personnelle. Les manuscrits portent soit τί δέ με λέγετε· Κύριε, κύριε, soit τί δέ με καλεῖτε… Etant donné le second membre de phrase, il paraît plus logique que la question posée soit : « Pourquoi me dites-vous maître » / « me donnez-vous du maître » « et ne faites-vous pas ce que j'explique » ? Si l'on considère vraiment Jésus comme un maître, comme un rabbi, on ne peut que faire confiance à son enseignement. Nous sommes bien aux premiers moments d'un enseignement qui bouscule les commandements de la loi mosaïque : les disciples sont encore timorés.

41 D : πλημύρας, qui peut également s'écrire πλημμύρας. La préférence des éditeurs pour πλημμύρης n'est pas fondée ; alpha long s'est maintenu en attique après ῥ.

6.49 ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου ᾗ *προσέρρηξε* [42] ὁ ποταμός καὶ εὐθὺς συνέπεσεν καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.

7.1 *Ὅτε ἐτέλεσεν ταῦτα τὰ ῥήματα*[43], […].

*Jean, baptiste : de quelle leçon a-t-il été le porteur?*

7. 17 ἐξῆλθεν οὗτος ὁ λόγος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ καὶ πάσῃ τῇ περιχώρῳ,

7.18 *Ἐν οἷς καὶ μέχρι Ἰωάνου τοῦ βαπτιστοῦ* ὅς προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ

7.19 λέγει· πορευθέντες εἴπατε αὐτῷ · Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν;

7.20 παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπαν· Ἰωάννης ὁ βαπτιστὴς *ἀπέσταλκεν* ἡμᾶς πρὸς σὲ λέγων· Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν;

7.21 [~~ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐθεράπευσεν πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο βλέπειν~~[44].]

*7.22 καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἶδον ὑμῶν οἱ ὀφθ[αλμο]ὶ καὶ ἃ ἤκουσεν ὑμῶν τὰ ὦτα ·* ~~*τυφλοὶ ἀναβλέπουσιν, χωλοὶ περιπατοῦσιν, λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσιν, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται·*~~

7.23 ~~καὶ μακάριός ἐστιν ὃς ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί~~.

7.24 Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου· Τί ἐξεληλύθατε[45] εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;

7.25 ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν.

7.26 ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; Προφήτην; ναί, λέγω ὑμῖν καὶ περισσότερον προφήτου,

7.28 *ὅτι οὐδεὶς μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τοῦ βαπτιστοῦ· λέγω δὲ ὅτι* ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ μείζων αὐτοῦ ἐστιν.

> 7.29 ( Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου·
>
> 7.30 οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ θεοῦ ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ.)

7.31 Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης; καὶ τίνι εἰσὶν ὅμοιοι;

7.32 ὅμοιοί εἰσιν παιδίοις τοῖς ἐν τῇ ἀγορᾷ καθημένοις καὶ προσφωνοῦσιν ἀλλήλοις λέγοντες· ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν καὶ οὐκ ἐκλαύσατε.

7.33 ἐληλύθει γὰρ Ἰωάννης ὁ βαπτιστὴς μὴ ἐσθίων ἄρτον μήτε πίνων οἶνον, καὶ λέγετε· Δαιμόνιον ἔχει·

7.34 ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν,

7.35 καὶ· ἐδικαιώθη ἡ σοφία *ἀπὸ τῶν τέκνων* αὐτῆς.

*Une courtisane au banquet de la vie : sois hospitalier et tu auras accompli toute la loi*

---

42 Προσέρρηξε, plutôt sur προσρήσσω, « venir frapper avec violence contre », que προσρήγνυμι, « briser ».

43 Je reprends la phrase de transition du Codex (D) à laquelle je rattache les commentaires qui concluent l'épisode de la résurrection du fils de la veuve. Ni l'épisode du centurion, ni celui du détour par Naïn ne faisaient partie du texte primitif rédigé par Silas ; il est probable que la suite primitive est celle que nous lisons en 7, 18. Dans la construction de D, toutefois, ce verset se rattache à ce qui précède, que je reprends donc. On a pu traiter Jésus de « grand prophète » en raison de son enseignement plutôt qu'en raison de ses guérisons.

44 La réponse suivante de Jésus est une reprise métaphorique de l'annonce prophétique traditionnelle. Un interpolateur a pensé bien de motiver la réponse en arguant de miracles concrets.

45 J'adopte la leçon de la *koinè* d'Antioche et de Constantinople ; l'emploi de l'aoriste impliquerait que Jésus demande aux gens à qui il s'adresse pourquoi ils sont allés dans le désert dans la circonstance de locution.

7.36 ἠρώτησεν δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ: καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατεκλίθη.

7.37 καὶ ἰδοὺ *γυνὴ ἐν τῇ πόλει* ἁμαρτωλός *γνοῦσα* ὅτι ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου *κατάκειται,* κομίσασα ἀλάβαστρον μύρου

7.38 καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ, κλαίουσα τοῖς δάκρυσιν *ἔβρεξε* τοὺς πόδας αὐτοῦ καὶ ταῖς θριξὶν τῆς κεφαλῆς αὐτῆς *ἐξέμαξεν*, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφεν τῷ μύρῳ.

7.39 ἰδὼν δὲ ὁ Φαρισαῖος *παρ' ᾧ κατέκειτο,* εἶπεν ἐν ἑαυτοῖς[46] [~~λέγων~~]· Οὗτος· εἰ ἦς προφήτης, ἐγίνωσκες ἂν τίς καὶ *ποδαπὴ* ἡ γυνὴ *ἡ ἁπτομένη σοῦ* ~~αὐτοῦ~~, ὅτι ἁμαρτωλός ἐστιν.

7.40 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δὲ *ἔφη· Διδάσκαλε, εἰπόν·*

7.41 *ὁ δὲ εἶπεν·* δύο χρεοφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλεν δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα.

7.42 μὴ ἐχόντων αὐτῶν ἀποδοῦναι ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν *αὐτὸν πλέον ἀγαπήσει;*

7.43 ἀποκριθεὶς *ὁ δὲ* Σίμων εἶπεν· Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλέον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας.

7.44 καὶ στραφεὶς πρὸς τὴν γυναῖκα *εἶπεν τῷ Σίμωνι·* Βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, *καὶ ὕδωρ ἐπὶ πόδας μοι* οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν μου τοὺς πόδας καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξεν.

7.45 φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ' ἧς εἰσῆλθεν οὐ διέλιπεν καταφιλοῦσά μου τοὺς πόδας.

7.46 ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψεν τοὺς πόδας μου.

~~7.47 οὗ χάριν δέ, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπ,.~~

~~7.48 εἶπεν δὲ αὐτῇ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι.~~

~~7.49 καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· Τίς ἐστιν οὗτός ὃς καὶ ἁμαρτίας ἀφίησιν~~[47];

7.50 εἶπεν δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίστις σου σέσωκέν σε· πορεύου *ἐν εἰρήνῃ*.

Versets 47-49 : Le raisonnement contenu dans le verset 47 est en réalité un démontage de la loi mosaïque, puisqu'il implique que, pour aimer beaucoup, il faut être beaucoup pardonné, c'est-à-dire qu'il faut beaucoup pécher ! Dieu aurait donné une loi aux hommes pour qu'ils l'enfreignent ! En demandant à Simon quel débiteur accueillerait le mieux son créancier, en vérité Jésus, en bon maître de sagesse cynique, lui tendait un piège et le condamnait à entériner en silence la leçon que Jésus l'invitait à tirer du comportement de la courtisane, qui l'avait accueilli, lui Jésus, mieux qu'il n'avait su le faire lui, un pharisien : en vérité Dieu n'a pas à pardonner à la courtisane ses manquements à la loi ; son comportement ne relève pas de « commandements », ni des hommes, ni de Dieu.

Verset 49 : Simon a invité Jésus alors qu'il passait devant chez lui. Il ne l'a pas à proprement parler « invité » à partager un repas avec lui, il lui a demandé (ἐρώτησεν) s'il voulait bien manger avec lui. Il n'y a donc pas d'autres « spectateurs » dans la salle à manger que Simon, Jésus, la courtisane, et une servante ou un serviteur !

8

[46] Etant donné l'emploi de ἀποκριθείς plus loin, si Jésus a « répondu » à Simon, c'est qu'il a entendu ce qu'il a dit ; et donc Simon ne s'est pas dit « en lui-même » (λέγων est absent de D), mais a parlé ἐν ἑαυτοῖς, « entre eux », lui et Jésus, ne se faisant entendre que de celui qui était étendu à côté de lui, de l'autre côté de la table où était déposée la nourriture. Et c'est donc à Jésus qu'il dit : « Si tu étais prophète, etc. » Supposons que l'éditeur de l'Evangile de Luc a corrigé le texte de Silas, parce qu'il a jugé que Simon ne pouvait pas avoir mis en doute la qualité de prophète de Jésus.

[47] Les versets 47 à 49 n'appartenaient certainement pas à la traduction de Silas. Le texte du *Codex bezae* diverge de façon importante du texte de la vulgate : 47 : οὗ χάριν δέ, λέγω σοι, ἀφέωνται αὐτῃ πολλά (et donc un araméisme, l'accord du verbe avec un sujet neutre au pluriel) ; le reste du verset est absent ; verset 48 et 49 sont identiques ; or le verset 49 est hors de propos : Simon et Jésus sont les seuls convives.

*La parabole de la semence : au principe du courant vital* humain, *non pas « ça », mais une étincelle de vie divine, la générosité*

8.1 Καὶ ἐγένετο ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευεν κατὰ πόλιν καὶ κώμην κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ θεοῦ, *καὶ μαθηταὶ σὺν αὐτῷ*

8.2 καὶ γυναῖκές τινες ~~αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν~~, Μαρία ἡ καλουμένη Μαγδαληνή, ~~ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει~~

8.3 καὶ Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρῴδου καὶ Σουσάννα καὶ ἕτεραι πολλαί αἵτινες καὶ διηκόνουν αὐτοῖς ἐκ τῶν ὑπαρχόντων αὐταῖς.

8.4 *Συνόντων δὲ αὐτῶν [καὶ ὄχλου πολλοῦ ἐπιπορευομένου πρὸς αὐτόν*[48]], εἶπεν διὰ παραβολῆς·

8.5 Ἐξῆλθεν ὁ σπείρων [τοῦ] σπεῖραι τὸν σπόρον αὐτοῦ. καὶ ἐν τῷ σπείρειν αὐτὸν ὁ μὲν[49] ἔπεσεν παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτόν.

8.6 καὶ ἕτερος κατέπεσεν ἐπὶ […] πέτραν, καὶ φυεὶς ἐξηράνθη διὰ τὸ μὴ ἔχειν ἰκμάδα,

8.7 καὶ ἕτερος ἔπεσεν ἐς μέσον τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτόν.

8.8 καὶ ἕτερος ἔπεσεν εἰς τὴν γῆν τὴν ἀγαθήν, καὶ φυεὶς ἐποίησεν καρπὸν ἑκατονταπλασίονα. [...[50]]. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

8.9 Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ τίς αὕτη εἴη ἡ παραβολή.

8.10 ὁ δὲ εἶπεν· οὐκ οἴδατε τὴν παραβολὴν ταύτην; *καὶ πῶς τὰς παραβολὰς*[51] *γνώσεσθε*;

*Un enseignement est fait pour éclairer : pas d'explication des paraboles*

8.16 Οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν σκεύει ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ' ἐπὶ λυχνίας τίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσιν τὸ φῶς.

8.17 οὐ γάρ ἐστιν κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται οὐδὲ ἀπόκρυφον ὃ οὐ μὴ γνωσθῇ καὶ εἰς φανερὸν ἔλθῃ.

8.18 βλέπετε οὖν πῶς ἀκούετε· ὃς ἂν γὰρ ἔχῃ, δοθήσεται αὐτῷ καὶ ὃς ἂν μὴ ἔχῃ καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ.

Etant donné 8, 16 à 18, je pense que l'explication de la parabole que nous lisons n'est pas de Jésus. D'abord, je ne pense pas que Jésus aurait employé la formule « λόγος τοῦ θεοῦ » (qui, dans la langue de la *koinè* ne veut pas dire « parole de Dieu », mais, éventuellement « recueil de Dieu » ! Ensuite, je ne pense pas non plus qu'il aurait dit qu'on entend le *logos* pour être sauvé. Enfin 8, 13, notamment, mais cela vaut pour la suite, ne peut être imputé à la plume d'un hellénophone.

> [8.11 Ἔστιν δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ.
> 8.12 οἱ δὲ παρὰ τὴν ὁδόν εἰσιν οἱ ἀκούσαντες, εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει *ἀπὸ τῆς καρδίας αὐτῶν τὸν λόγον,* ἵνα μὴ πιστεύσαντες σωθῶσιν.
> 8.13 οἱ δὲ ἐπὶ τῆς πέτρας οἳ ὅταν ἀκούσωσιν μετὰ χαρᾶς δέχονται τὸν λόγον καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσιν καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.

---

48 Texte adopté du manuscrit en minuscules 579, Paris,XIII[e] siècle. Texte de la vulgate, Συνελθόντος δὲ ὄχλου πολλοῦ καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν εἶπεν διὰ παραβολῆς... Une foule nombreuse rassemblée dont les gens de la ville viennent grossir les rangs, il me semble que cela fait beaucoup de monde ! Il est vraisemblable que seuls des disciples étaient présents.

49 L'accentuation ὃ μέν adoptée par les éditeurs est aberrante. Il ne peut que s'agir de l'article masculin à valeur de déictique, ὁ μέν = ὁ μὲν σπόρος = une partie de la semence. Je corrige ensuite 8, 6 ἕτερος / φυεῖς / 8, 7 ἕτερος, etc. Le manuscrit 700 (minuscules, Londres, XI) est le plus correct.

50 Le texte porte une mention (ταῦτα λέγων ἐφώνει) aberrante (« tandis qu'il expliquait cela, il disait à voix haute ! ») et inutile.

51 ὁ δὲ εἶπεν, Ὑμῖν δέδοται τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ γνῶναι τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσιν καὶ ἀκούοντες μὴ συνιῶσιν. C'est là ce que la vulgate nous propose ; on voudra bien se reporter à la note de la traduction où je justifie l'emprunt que je fais à la sentence que l'on peut lire dans Marc.

8.14 τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται καὶ οὐ τελεσφοροῦσιν.
8.15 τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον κατέχουσιν καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.]

*La famille*

8.19 Παρεγένετο δὲ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον.
8.20 ἀπηγγέλη δὲ αὐτῷ· Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν ζητοῦντες σε.
8.21 ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς· ἡ Μήτηρ μου καὶ οἱ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ ποιοῦντες.

33 ποιήσαντες δὲ χρόνον ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστείλαντας αὐτούς. 34 **ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ. μόνος δὲ Ἰούδας ἐπορεύθη**[204]. 35 *Ὁ* δὲ Παῦλος καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ διδάσκοντες [~~καὶ εὐαγγελιζόμενοι καὶ μετὰ ἑτέρων πολλῶν~~] τὸν λόγον τοῦ [κυρίου]. 36 Μετὰ δέ τινας ἡμέρας εἶπεν ὁ Παῦλος πρὸς Βαρνάβαν· Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς *τοὺς* κατὰ πᾶσαν πόλιν ἐν οἷς κατηγγείλαμεν τὸν λόγον τοῦ κυρίου, πῶς ἔχουσι. 37 Βαρνάβας δὲ ἐβουλεύετο συμπαραλαβεῖν Ἰωάνην τὸν *ἐπι*καλούμενον Μᾶρκον· 38 Παῦλος δὲ οὐκ *ἐβούλετο, λέγων* τὸν ἀποστήσαντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας *καὶ μὴ συνελθόντα εἰς τὸ ἔργον εἰς ὃ ἐπέμφθησαν*, τοῦτον *μὴ εἶναι σὺν αὐτοῖς* , 39 ἐγένετο *δὲ* παροξυσμὸς, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, *τότε* Βαρνάβας παραλαβὼν τὸν Μᾶρκον ἔπλευσεν εἰς Κύπρον. 40 Παῦλος δὲ ἐπι*δ*εξάμενος Σίλαν ἐξῆλθεν, [~~παραδοθεὶς τῇ χάριτι κυριοῦ *ἀπὸ τῶν ἀδελφῶν*~~[205]] 41 διήρχετο δὲ τὴν Συρίαν καὶ τὴν Κιλικίαν ἐπιστηρίζων τὰς ἐκκλησίας, *παραδιδοὺς τὰς ἐντολὰς τῶν πρεσβυτέρων*.

[204] Je souligne donc en gras deux propositions que seul D atteste, non sans modification de la syntaxe, qui transforme un adverbe (αὐτοῦ) en pronom dont l'emploi est en vérité absurde. Qui avait intérêt à masquer le fait que Silas est resté « sur place » (là même), à Antioche, que seul Judas est retourné à Jérusalem, si ce n'est l'éditeur de l'Evangile quadriparti et des *Actes des Apôtres*, parce qu'il devait brouiller la vue des lecteurs et les empêcher de percevoir trop clairement le lien entre le Silas venu de Jérusalem et le Silas que Paul, bientôt, « acceptera » (et non « élira ») pour compagnon ? Et pourquoi ce brouillage ? Il fallait empêcher de remonter de Silas, auteur des récits autour de Paul, à Silas traducteur de l'enseignement de Jésus et des récits de Simon (Syméon), bref il fallait empêcher de voir que les Evangiles étaient une gangue destinée à recouvrir le texte original de l'enseignement de Jésus. Le brouillage a été efficace puisque même les spécialistes des écritures, prébendés des Eglises, ne reconstituent pas le texte authentique *qu'ils ont sous les yeux* et dont l'authenticité s'impose : comment Paul aurait-il pu accepter l'aide de Silas si ce dernier avait quitté Antioche pour retourner à Jérusalem ? Car c'est dans le contexte où il est dit qu'il est resté sur place qu'il est dit que Paul, refusant violemment la compagnie de Marc, « accueille Silas ». Il y avait un deuxième Silas ? Où nous est-il jamais présenté ? Mû par on ne sait quel scrupule, une reculade devant ce qui aurait été un véritable assassinat, l'orchestrateur de la fabrique du NT, n'a pas osé demander au scribe à qui a été confiée la rédaction des « Actes des Apôtres » d'écrire : « Alors Paul choisit Luc pour compagnon ».
Nous verrons bientôt (en 16,9-10) de quelle façon on a tenté à nouveau d'escamoter le rôle décisif joué par Silas auprès de Paul.

[205] En grec de la *koinè*, il eût été « livré », « transmis » (!) à la grâce du maître (?) ὑπό, « par les frères ». Evidemment, l'erreur a été corrigée dans le texte de la vulgate, *après* une première édition dont on avait, hélas ! laissé échapper de malheureux exemplaires, trop loin pour les rattraper. Grâce à Dieu, peut-être, du côté de Lyon ou de Vienne, quelque main « pieuse » avait pris soin de soustraire l'exemplaire du texte le plus ancien à l'appétit de quelque inquisiteur « polycarpien », à moins qu'Irénée lui-même ait refusé de le détruire. Les années passant, les défenseurs *du texte sacré au point qu'il n'y fallait rien toucher,* ne savaient plus que, sacré et invariable, il ne l'avait pas toujours été.

16.

1 - *διελθὼν δὲ τὰ ἔθνη ταῦτα* κατήντησεν εἰς Δέρβην καὶ Λύστραν. καὶ ἰδοὺ μαθητής τις ἐκεῖ ἦν ὀνόματι Τιμόθεος, υἱὸς γυναικός Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος, 2 ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. 3 τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ᾔδεισαν γὰρ παντες τὸν πατέρα αὐτοῦ ὅτι Ἕλλην ὑπῆρχεν. 4 *διερχόμενοι δὲ τὰς πόλεις [~~ἐκήρυσσον καὶ~~] παρεδίδοσαν αὐτοῖς [~~μετὰ πάσης παρρησίας τὸν κύριον Ἰησοῦν Χριστὸν ἅμα παραδιδόντες καὶ~~] τὰς [ἐντολὰς] ἐπιστολὰς* […] πρεσβυτέρων τῶν ἐν Ἱεροσολύμοις. 5 αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο [...] καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. 6 [~~Διῆλθον δὲ τὴν Φρυγίαν καὶ Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος *μηδενὶ* λαλῆσαι τὸν λόγον *τοῦ Θεοῦ* ἐν τῇ Ἀσίᾳ,~~] 7 *γενόμενοι δὲ* κατὰ τὴν Μυσίαν *ἤθελαν εἰς* Βυθυνίαν πορεύεσθαι· [~~καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα Ιηυ.~~] 8 διελθόντες δὲ τὴν Μυσίαν κατήντησαν εἰς Τρῳάδα.

9 καὶ *ἐν* ὁράματ*ι* διὰ νυκτὸς ὤφθη τῷ Παύλῳ *ὡσεὶ* ἀνήρ Μακεδὼν τις ἑστὼς κατὰ πρόσωπον αὐτοῦ, παρακαλῶν καὶ λέγων· « Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. » 10 *διεγερθεὶς οὖν διηγήσατο* τὸ ὅραμα *ἡμῖν, καὶ ἐνοήσαμεν* ὅτι προσκέκληται ἡμᾶς *ὁ κύριος* εὐαγγελίσασθαι *τοὺς ἐν τῇ Μακεδονίᾳ*[206]. 11 τῇ δὲ ἐπαύριον ἀ[να]χθέντες ἀπὸ Τρῳάδος εὐθυδρομήσαμεν εἰς Σαμοθράκην, *καὶ* τῇ ἐπιούσῃ [~~*ἡμέρα*~~] εἰς Νεάπολιν, 12 κακεῖθεν εἰς Φιλίππους, ἥτις ἐστὶν *κεφαλὴ* τῆς Μακεδονίας, πόλις κολωνία. ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς, 13 τῇ *δὲ* ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πύλης παρὰ τὸν ποταμὸν οὗ *ἐδόκει* προσευχὴ[207] εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελελυθυίαις γυναιξίν. 14 καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις *τῆς* πόλεως Θυατίρων, ~~σεβομένη τὸν Θεὸν, ἤκουσεν, ἧς ὁ Κύριος διήνυξεν τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ Παύλου. 15 [ὡς δὲ ἐβαπτίσθη καὶ *πᾶς* ὁ οἶκος αὐτῆς~~,] παρεκάλεσε [ἡμᾶς[208]] λέγουσα· « Εἰ κεκρίκατέ με πιστὴν τῷ *Θεῷ* εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μένετε. » καὶ παρεβιάσατο ἡμᾶς. 16 Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς προσευχὴν παιδίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνα ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις διὰ τούτου μαντευομένη. 17 αὕτη κατακολουθοῦσα τῷ Παύλῳ καὶ ἡμῖν [καὶ] ἔκραζεν λέγουσα· Οὗτοι οἱ

---

206 Le verset 10 de la vulgate est le suivant : (10) ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ θεὸς εὐαγγελίσασθαι αὐτούς.

207 A tort Etienne Nodet (*in Les Antiquités Juives,* Livre XX – Vie, Le Cerf, Paris,2022, note 3, p. 109) affirme que προσευχή en cette occurrence signifie, comme c'est le cas dans l'usage de Flavius Josèphe (voir *Vie*, § 277) « le lieu de la prière » du sabbat, « la synagogue ». Or l'endroit est situé hors de la ville, au bord de la rivière ; Paul et ses deux compagnons ne trouvent, rassemblées à cet endroit, que des femmes. « Nous sommes sortis de la ville pour aller au bord de la rivière οὗ *ἐδόκει* προσευχὴ » a écrit Silas, selon la leçon du *Codex Bezae* ; dans le texte de la vulgate, ἐδόκει a, comme par magie, disparu : l'emploi du verbe signifie qu'il n'était pas évident que l'endroit fût celui « de la prière » du sabbat.

208 Que Lydie se soit fait baptiser « avec toute sa maisonnée » sur une plage où sont rassemblées des femmes est une adjonction aberrante au récit de Silas. Je rappelle, en outre, que les chrestiens n'accueillaient pas de nouveaux venus « en les baptisant », mais simplement en leur imposant les mains. Enfin que Lydie, « qui vénérait *le Dieu* (= Dieu) », paraît-il, ait eu besoin qu'il lui donne un « coup qui lui traverse le cœur » (διήνυξεν) pour être attentive au bavardage de Paul (τοῖς λαλουμένοις ὑπὸ Παύλου), au mieux, illustre le niveau d'invention des mômeries des *Actes des Apôtres*.

δοῦλοι τοῦ Θεῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες *εὐαγγελίζουσιν* ὑμῖν ὁδὸν σωτηρίας. 18 τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. ἐπιστρέψας δὲ ὁ Παῦλος τῷ πνεύματι καὶ διαπονηθεὶς εἶπεν· Παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ [Χριστοῦ] ἵνα ἐξέλθῃς ἀπ' αὐτῆς. καὶ *εὐθέως* ἐξῆλθεν [..]. 19 *ὡς δὲ εἶδαν* οἱ κύριοι *τῆς παιδίσκης* ὅτι *ἀπεστέρησθαι* [..] τῆς ἐργασίας αὐτῶν, *ἧς εἶχαν δι αὐτῆς* ἐπιλαβόμενοι τὸν Παῦλον καὶ Σίλαν εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, 20 καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπον· Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν Ἰουδαῖοι ὑπάρχοντες, 21 καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέξασθαι οὔτε ποιεῖν Ρωμαίοις *ὑπάρχ*ουσιν. 22 καὶ *πολὺς* ὄχλος συνεπέστησαν κατ' αὐτῶν *κράζοντες.* οἵ τε στρατηγοὶ περιρρήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέλευον ῥαβδίζειν, 23 πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖσθαι αὐτούς· 24 ὁ δὲ παραγγελίαν τοιαύτην λαβὼν ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο ἐν τῷ ξύλῳ. 25 Κατὰ δὲ μέσον τῆς νύκτος ὁ Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν· ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. 26 ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου, ἠνεῴχθησαν δὲ παραχρῆμα αἱ θύραι πᾶσαι [~~καὶ πάντων τὰ δεσμὰ ἀνελύθη~~.] 27 καὶ ἔξυπνος γενόμενος ὁ δεσμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, [~~καὶ~~] σπασάμενος τὴν μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους. 28 ἐφώνησεν δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος λέγων· « Μηδὲν πράξῃς σεαυτῷ τι κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε. »

> 29 [φῶτα δὲ αἰτήσας εἰσεπήδησεν, καὶ ἔντρομος *ὑπάρχων* προσέπεσεν πρὸς τοὺς πόδας τῷ Παύλῳ καὶ Σίλᾳ, 30 καὶ προήγαγεν αὐτοὺς ἔξω *τοὺς λοιποὺς ἀσφαλισάμενος καὶ εἶπεν αὐτοῖς* Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ; 31 οἱ δὲ εἶπαν· Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν *Χριστόν*, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. 32 καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου *σὺν* πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. 33 καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ αὐτὸς ἐβαπτίσθη καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα, 34 ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ παρέθηκε τράπεζαν, καὶ ἠγαλλιᾶτο *σὺν τῷ αὐτοῦ* πεπιστευκὼς *ἐπὶ* τὸν Θεὸν.]

35 Ἡμέρας δὲ γενομένης *συνῆλθον οἱ στρατηγοὶ ἐπὶ τὸ αὐτὸ εἰς τὴν ἀγορὰν καὶ ἀναμνησθέντες τὸν σεισμὸν τὸν γεγονότα ἐφοβήθησαν καὶ ἀπέστειλαν* [πρὸς τὸν δεσμοφύλακα] τοὺς ῥαβδούχους λέγοντας· « Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους *οὓς ἐχθὲς παρέλαβες* ». 36 καὶ *εἰσελθὼν* ὁ δεσμοφύλαξ ἀπήγγειλεν τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον, ὅτι Ἀπεστάλκασιν οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε. νῦν οὖν ἐξελθόντες πορεύεσθε. » 37 ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· « *ἀναιτίους* δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους, ἀνθρώπους Ρωμαίους ὑπάρχοντας, ἔβαλαν[209] εἰς φυλακήν· καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ, ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν. » 38 ἀπήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα *τὰ ῥηθέντα πρὸς τοὺς στρατηγούς · οἱ δὲ* ἀκούσαντες ὅτι Ρωμαῖοί εἰσιν, ἐφοβήθησαν 39 καὶ *παραγενόμενοι μετὰ φιλῶν πολλῶν εἰς τὴν φυλακὴν παρεκάλεσαν αὐτοὺς ἐξελθεῖν εἰπόντες, « Ἠγνοήσαμεν τὰ καθ' ὑμᾶς ὅτι ἐστὲ ἄνδρες δίκαιοι » καὶ ἐξαγαγόντες* παρεκάλεσαν αὐτοὺς, λέγοντες, « Ἐκ τῆς πόλεως ταύτης ἐξέλθατε *μήποτε πάλιν συστραφῶσιν ἡμῖν ἐπικράζοντες καθ' ὑμῶν.* »

209 Ἔβαλαν et non ἔβαλον : c'est Paul qui parle. Il est probable que Silas respecte, dans sa bouche, un trait du grec parlé en Asie Mineure, et semble-t-il, même en Grèce (voir plus loin ἐξέλθατε dans la bouche des édiles de Philippes).

40 ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς *ἦλθον* πρὸς τὴν Λυδίαν καὶ ἰδόντες τοὺς ἀδελφοὺς καὶ παρακαλέσαντες αὐτοὺς ἐξῆλθον[210].

*Dans ce chapitre, la divergence principale entre les deux traditions textuelles se situe aux versets 9 et 10.*

*Dans le texte de la vulgate (dans le Sinaïticus, donc,* in *TLG©UCI, 16, 9-10) voici ce que nous lisons :*

(9) καὶ ὅραμα διὰ [τῆς] νυκτὸς τῷ Παύλῳ ὤφθη, ἀνὴρ Μακεδών τις ἦν ἑστὼς καὶ παρακαλῶν αὐτὸν καὶ λέγων, Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. (10) ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ θεὸς εὐαγγελίσασθαι αὐτούς.

*Je traduis au plus près du texte en grec :*

> Une vision fut vue par Paul au cours de la nuit, un Macédonien se tenait debout (en guerrier), et l'invitant et lui disant : « Ayant traversé vers la Macédoine, viens à notre secours ». Lorsqu'il eut vu cette vision, aussitôt nous avons cherché à partir vers la Macédoine, nous convainquant que « Dieu nous appelle pour les évangéliser ».

*Le texte établi ci-dessus propose la version suivante de l'événement (en italiques, le texte de la version occidentale) :*

> 9 καὶ *ἐν* ὁράμα*τι* διὰ νυκτὸς ὤφθη τῷ Παύλῳ *ὡσεὶ* ἀνήρ Μακεδὼν τις ἑστὼς κατὰ πρόσωπον αὐτοῦ, παρακαλῶν καὶ λέγων· « Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. » 10 *διεγερθεὶς οὖν διηγήσατο* τὸ ὅραμα *ἡμῖν, καὶ ἐνοήσαμεν* ὅτι προσκέκληται ἡμᾶς *ὁ κύριος* εὐαγγελίσασθαι *τοὺς ἐν τῇ Μακεδονίᾳ.*
>
> Et dans la vision (d'un rêve), au cours de la nuit, fut vu par Paul quelqu'un ressemblant à un Macédonien, un soldat fermement campé sur ses jambes, le front tourné vers lui (l'affrontant), l'appelant à venir auprès de lui en se mettant en rapport avec lui en ces termes : « Ayant fait la traversée vers la Macédoine, viens à notre secours ». 10 *Réveillé, il* nous *raconta donc sa vision (son rêve) en l'expliquant et* nous (tous) *l'avons interprété dans le sens où : « Le maître* nous *appelle, avec insistance, à* gratifier ceux de Macédoine de la bonne nouvelle. »

*Que comporte la tradition occidentale de plus que la tradition orientale ? Un contenu différent du « nous » : c'est Silas – Timothée est d'accord avec lui – qui apporte à Paul l'interprétation décisive du rêve : ils sont, eux aussi, appelés en Macédoine pour apporter 'à ceux de Macédoine' la bonne nouvelle. Quelle bonne nouvelle ? Celle de l'enseignement de Jésus, dont Silas est l'interprète, et cela à destination des Juifs comme des Grecs. C'est la présence de Silas et de Timothée aux côtés de Paul qui*

210 Correction personnelle de *ὅσα ἐποίησεν Κύριος αὐτοῖς* παρακαλέσαντες αὐτοὺς καὶ ἐξῆλθαν. Le maître est devenu Seigneur au temps de sa christification. Et nous avons constaté que les prodiges de la nuit passée en prison n'avaient pas même la consistance d'un rêve.

*a probablement été l'occasion de son rêve. Ils lui seraient d'une aide plus efficace en Grèce qu'en Bithynie où il avait l'intention d'aller. Voilà de quoi Silas et Timothée convainquent Paul. En allant en Grèce, il acceptait, de façon encore plus décisive qu'il ne l'avait fait, qu'il fallait substituer l'enseignement de Jésus à la loi de Moïse et qu'en conséquence, il fallait l'adresser à tous les êtres humains. Et cela, Silas, sans doute, y pensait depuis bien longtemps.*

*Pour la suite du chapitre : inutile, je pense, d'insister pour dénoncer la stupidité christienne de la conversion du gardien de prison et de toute sa maisonnée !*

17.

1 - Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν [~~καὶ~~] *κατ*ῆλθον εἰς Ἀπολλωνίδα *κἀκεῖθεν* ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν συναγωγὴ τῶν Ἰουδαίων. 2 *καὶ* κατὰ τὸ εἰωθὸς ὁ Παύλος εἰσῆλθεν πρὸς αὐτοὺς, ἐπὶ σάββατα τρία διελέχθη αὐτοῖς *ἐκ* τῶν γραφῶν, [3 ~~διανοίγων καὶ παρατιθέμενος ὅτι [τὸν] Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν Χριστός, Ἰησοῦς ὃν ἐγὼ καταγγέλλω ὑμῖν.~~] 4 καί τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σιλᾳ τῇ διδακῇ πολλοὶ τῶν σεβομένων [καὶ Ἑλλήνων πλῆθος πολὺ καὶ γυναίκες τῶν πρώτων οὐκ ὀλίγαι.] 5 οἱ δὲ *ἀπειθοῦντες* Ἰουδαῖοι συ[ν]στρέψαντές τινὰς ἄνδρας τῶν ἀγοραίων πονηροὺς ἐθορύβ[η]σαν τὴν πόλιν, *καὶ* ἐπιστάντες τῇ οἰκίᾳ Ἰάσωνος ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον· 6 μὴ εὑρόντες δὲ αὐτοὺς ἔσυραν Ἰάσωναν καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες *καὶ λέγοντες* ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες οὗτοι *εἰσιν* καὶ ἐνθάδε πάρεισιν, 7 οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράσσουσιν, βασιλέα λέγοντες ἕτερον εἶναι Ἰησοῦν[211]. 8 [...] καὶ οἱ πολιτάρχαι[212] ἀκούσαντες ταῦτα 9 καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσωνος καὶ τῶν λοιπῶν ἀπέλυσαν αὐτούς. 10 Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τόν Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν, οἵτινες παραγενόμενοι εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων ἀπῄεσαν. 11 οὗτοι δὲ [ἦσαν εὐγενεῖς τῶν ἐν *τῇ* Θεσσαλονίκῃ, οἵτινες[213]] ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, καθ' ἡμέραν ἀνακρίνοντες τὰς

211 Tous les manuscrits donnent le nom de Jésus ce roi, rival de César. Je ne pense pas que ni Paul, ni Silas n'aient jamais donné à Jésus le titre de roi, surtout pas après l'adoption du nom de « chrestiens » pour désigner ses disciples. Si, à Philippes, ils avaient parlé du « roi, Jésus », ils auraient été mal venus de faire valoir leur citoyenneté romaine. En revanche, ils ne pouvaient pas ne pas parler du « règne de Dieu », autre que celui de César. Les adeptes de la Loi de Moïse, hostiles aux chrestiens, se moquaient bien de la nuance et, par malveillance, ils pouvaient, pour donner de la force à leur accusation, parler du roi « Jésus ». Les juifs attachés à la Loi de Moïse savaient sans doute, partout dans l'empire, sous quel chef d'accusation le grand Conseil du Sanhédrin avait traduit Jésus devant Pilate ; étant donné qu'il avait été crucifié, on devait considérer que c'est, en effet, en tant que « roi des Juifs » qu'il avait été condamné (Pilate avait fait clouer, par dérision, le titre sur la croix, en trois langues, selon *D*). Seuls ses disciples, grâce sans doute à quelqu'un comme Joseph d'Arimathée, savaient et acceptaient l'idée qu'il avait été condamné à mort par les autorités du temple, *pour un blasphème qui lui avait été iniquement imputé*. Un juif orthodoxe ne pouvait tenir pour vraie cette interprétation des faits. Les Judéens ont donc continué à accuser les Nazaréens de « royalisme » ; Flavius Josèphe, leur historien, s'est bien gardé de corriger leur interprétation de la condamnation de Jésus apparemment par un juge romain.

212 Entre crochets, lire : *καί* ἐτάραξεν τοὺς πολιτάρχας *καί* τὸν ὄχλον, suivi de ἀκούσαντες, une construction grammaticale aberrante. Le participe suppose un groupe nominal au nominatif. Il est probable que la « cohue » était absente du récit primitif.

213 εὐγενεῖς τῶν, pour dire « plus noble que ceux de… » ; cette forme de la comparaison est un sémitisme.

γραφὰς εἰ ἔχοι ταῦτα οὕτω. 12 *τινὲς* μὲν οὖν αὐτῶν ἐπίστευσαν, τίνες δὲ ἠπίστησαν, [καὶ τῶν Ἑλλήνων καὶ τῶν εὐσχημόνων ἄνδρες *καὶ γυναῖκες ἱκανοὶ ἐπίστευσαν*]. 13 Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ Θεσσαλονίκης Ἰουδαῖοι ὅτι λόγος Θεοῦ κατηγγέλη εἰς Βεροίαν [~~καὶ ἐπίστευσαν καὶ] [...~~], ἦλθον εἰς αὐτὴν κἀκεῖ σαλεύοντες καὶ ταράσσοντες τοὺς ὄχλους *οὐ διελίμπανον*. 14 *τὸν μὲν οὖν Παῦλον* οἱ ἀδελφοὶ ἐξαπέστειλαν ἀπελθεῖν ἐπὶ τὴν θάλασσαν· ὑπέμεινεν δὲ ὅ [τε] Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ. 15 οἱ δὲ κα[θι]στάνοντες τὸν Παῦλον ἤγαγον ἕως Ἀθηνῶν [~~*παρῆλθεν δὲ τὴν Θεσσαλίαν, ἐκωλύθη γὰρ εἰς αὐτοὺς κηρύξαι τὸν λόγον*~~[214]]· λαβόντες ἐντολὴν παρὰ Παύλου πρὸς τὸν Σίλαν καὶ τὸν Τιμόθεον, *ὅπως ἐν* τάχει ἔλθωσιν πρὸς αὐτὸν, ἐξῄεσαν.

16 Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοῦ τοῦ Παύλου, παρωξύνετο πνεῦμα αὐτοῦ ἐν αὐτῷ θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. 17 διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. 18 τινὲς δὲ καὶ τῶν Ἐπικουρείων καὶ *τῶν* Στωϊκῶν φιλοσόφων συν*έλαβον* αὐτῷ, καί τινες ἔλεγον· Τί ἂν θέλη ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δέ· Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι [.....]· 19 *μετὰ δὲ ἡμέρας τινὰς* ἐπιλαβόμενοί αὐτοῦ ἤγαγον αὐτὸν ἐπὶ Ἄρειον Πάγον , *πυνθανόμενοι καὶ* λέγοντες· Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ὑπὸ σοῦ *καταγγελλομένη* [λαλουμένη] διδαχή; 20 ξενίζοντα γάρ τινα φέρεις *ῥήματα* εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι. 21 Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες *εἰς αὐτοὺς* ξένοι εἰς οὐδὲν ἕτερον ηὐκαίρουν ἢ λέγειν τι ἢ ἀκούειν καινότερον. 22 Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ· 23 διερχόμενος γὰρ καὶ *διιστορῶν* τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμὸν ἐν ᾧ *ἦν* γεγραμμένον, Ἀγνώστῳ θεῷ. ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτο ἐγὼ καταγγέλλω ὑμῖν. 24 ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικ[ε]ῖ 25 οὐδὲ ὑπὸ χειρῶν ἀνθρωπίνων θεραπεύεται, προσδεόμενός, *ὅτι οὗτος ὁ δοὺς* πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· 26 ἐποίησέν ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπου κατοικεῖν ἐπὶ παντὸς πρόσωπου τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, 27 *μάλιστα* ζητεῖν *τὸ Θεῖόν [~~ἐστίν~~]* εἰ ἄρα γε ψηλαφήσ[ει]αν αὐτὸ *ἢ* εὕροι[ε]ν, καί γε οὐ μακρὰν *ὢν* ἀφ᾽ ἑνὸς ἑκάστου ἡμῶν. 28 Ἐν [~~αὐτῇ~~] αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, *τὸ καθ' ἡμέραν* ὥσπερ καὶ τῶν καθ' ὑμᾶς τινες [ποιητῶν] εἰρήκασιν « τούτου γὰρ καὶ γένος ἐσμέν ». 29 γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ οὐκ ὀφείλομεν νομίζειν ~~οὔτε~~ χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης *ἢ* ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. 30 τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας *ταύτης παρ*ιδὼν ὁ Θεὸς τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις ~~ἵνα~~ πάντας πανταχοῦ μετανοεῖν[215], 31 καθότι ἔστησεν ἡμέραν κρίναι τὴν οἰκουμένην

---

[214] Interpolation stupide : Paul a été conduit à Athènes en bateau ; il a nécessairement évité la Thessalie ! Si le texte du *Codex Bezae* remonte à la première édition des *Evangiles* et des *Actes*, il a été copié au 5e siècle, probablement après plusieurs autres copies : aussi scrupuleux que fussent les copistes, cela leur démangeait la main de subrepticement glisser dans le texte ce qui ne pouvait pas ne pas y être, les preuves de l'ardeur missionnaire de Paul, par exemple.

[215] « De changer de disposition d'esprit » / « de penser autrement » et non « de se convertir » !

[ἐν] δικαιοσύνῃ ἀνδρὶ [*Ἰήσου*[216]] ᾧ ὥρισεν[217], πίστιν παρ[α]σχ[ὼν] πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. 32 Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· Ἀκουσόμεθά σου περὶ τούτου πάλιν. 33 οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν. 34 τινὲς δὲ ἄνδρες ἐκολλήθησαν αὐτῷ [~~ἐπίστευσαν~~], [ἐν οἷς καὶ Διονύσιος τις Ἀρεοπαγίτης *εὐσ[χ]ήμων*] καὶ ἕτεροι σὺν αὐτοῖς.

18

1 ἀναχωρήσας δὲ ἀπὸ τῶν Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον· 2 καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθ[ότ]α ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ τεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας Ἰουδαίους ἀπὸ τῆς Ῥώμης, *οἱ δὲ κατῴκησαν εἰς τὴν Ἀχαίαν*. προσῆλθεν αὐτῷ *ὁ Παῦλος*, 3 καὶ διὰ τὸ ὁμότεχνον ἔμενεν *πρὸς* αὐτοῖς καὶ ἠργάζετο· [ἦσαν γὰρ σκηνοποιοὶ τῇ τέχνῃ]. 4 *εἰσπορευόμενος* δὲ εἰς τὴν συναγωγὴν κατὰ πᾶν σάββατον διελέγετο, [~~*καὶ ἐντιθεὶς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ καὶ* ἔπειθέν δὲ *οὐ μόνον* Ἰουδαίους ἀλλὰ καὶ Ἕλληνας~~]. 5 Ὡς δὲ *παρεγένοντο* ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ Τιμόθεος, συνείχετο τῷ λόγῳ Παῦλος [~~διαμαρτυρούμενος τοῖς Ἰουδαίοις εἶναι τὸν Χριστόν *Κύριον* Ἰησοῦν~~]. 6 πολλοῦ δὲ λόγου γινομένου καὶ γραφῶν διερμηνευομένων, [ἀν]τιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος *ὁ Παῦλος* τὰ ἱμάτια αὐτοῦ εἶπεν πρὸς αὐτούς · « [Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· καθαρὸς ἐγώ ἀ[φ᾽ *ὑμῶ*]ν[218].] νῦν εἰς τὰ ἔθνη πορεύομαι. » 7 μεταβὰς [δὲ ἀπὸ Ἀκύ]λα ἐκεῖθεν ἦλθεν εἰς τὸν [οἶκο]ν τινὸς ὀνόματος Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. 8 ὁ δὲ ἀρχισυνάγωγος Κρίσπος ἐπίστευσεν εἰς τὸν κύριον σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ

> [καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες ἐπίστευον καὶ ἐβαπτίζοντο πιστεύοντες τῷ θεῷ διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 9 Εἶπε δὲ Κύριος δι' ὁράματος τῷ Παύλῳ ἐν νυκτὶ· Μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ σιω[πή]σῃς, 10 διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ]. 11 καὶ ἐκάθισεν ἐν Κορίνθῳ ἐνιαυτὸν καὶ μῆνας ἓξ διδάσκων αὐτοὺς τὸν λόγον [τοῦ Θεοῦ].

12 Γαλλίωνος τε ἀνθυπάτου ὄντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι *συλλαλήσαντες μεθ' ἑαυτῶν ἐπὶ* τὸν Παύλον, καὶ *ἐπιθέντες τὰς χεῖρας* ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα, 13 *καταβοῶντες* καὶ λέγοντες ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν. 14 μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· « Εἰ μὲν οὖν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ *ἄνδρες* Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν· 15 εἰ δὲ ζητήμα *ἔχετε* περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς ἐγὼ τούτων οὐ

---

216 Seul D mentionne « Jésus ». Le *codex* du 5e siècle porte non seulement la trace d'une version ancienne, antérieure à celle des autres manuscrits, mais également d'adjonctions fantaisistes que s'est permises un ou que se sont permises des copistes. Voir plus haut, la note 21.

217 Je lis : κρίναι τὴν οἰκουμένην [ἐν] δικαιοσύνῃ ἀνδρὶ ᾧ ὥρισεν… « Dieu a fixé le jour où il jugerait la terre habitée conformément à une justice à l'appui d'un juge (*andri*) qu'il a désigné… ». Il n'est pas impossible que, en la circonstance, Silas ait respecté la construction hébraïque de l'instrumental (« en justice » = « par le moyen d'une justice »). Ἀνήρ désigne l'agent d'une fonction (un guerrier, un forgeron, un juge, etc.). Enfin dans ἀνδρὶ ᾧ ὥρισεν le datif du relatif s'explique par l'attraction de l'antécédent ; ὁρίζω signifie dans le contexte « désigner » (j'adopte, pour ce groupe syntaxique, l'explication d'Alessandra Lukinovich); Dieu a arrêté le jour du jugement de tout le monde habité à l'appui d'un « juge » qu'il a désigné, en offrant une garantie, en le ressuscitant.

218 Il me semble qu'il suffit que Paul dise qu'il va vers les non-Juifs.

*θέλω* εἶναι. » 16 καὶ ἀπήλυσεν αὐτοὺς ἀπὸ τοῦ βήματος. 17 ἀπολαβόμενοι δὲ πάντες [~~οἱ Ἕλληνες~~] Σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν τοῦ βήματος· τ[ὸτε οὐδὲν τούτων τ]ῷ Γαλλίω[νι ἔμελ]εν.

18 Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανὰς, τοῖς ἀδελφοῖς ἀποταξάμενος *ἔπλευσεν* εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, [ κειράμενος τὴν κεφαλήν ἐν Κεγχρεαῖς· εἶχεν γὰρ ~~*προσ*~~εὐχήν]. 19 κατήντησαν δὲ εἰς Ἔφεσον […[219]]. 20 αἰτούντων τε αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν 21 ἀλλὰ ἀποταξάμενος εἶπεν· « ~~Δεῖ δὲ πάντως τὴν ἑορτὴν ἡμέραν [.] ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα~~ « πάλιν δὲ ἀνα[κάμψ]ω πρὸς ὑμᾶς τοῦ Θεοῦ θέλοντος ». ἀνήχθη ἀπὸ τοῦ Ἐφέσου 22 καὶ κατελθὼν εἰς Καισάρειαν, καὶ ἀναβὰς [εἰς Ἱεροσόλυμα] καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν, 23 καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθεν διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, [~~καὶ~~] ἐπιστηρίζων πάντας τοὺς μαθητάς.

24 Ἰουδαῖος δέ τις ὀνόματι Ἀπολλώνιος , γένει Ἀλεξανδρεὺς, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. 25 *ὃς* ἦν κατηχημένος *ἐν τῇ πατρίδι τὸν λόγον* τοῦ κυρίου, καὶ ζέων τῷ πνεύματι [ἀπ]ελάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ Ἰησοῦ, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάνου· 26 οὗτος ἤρξατο παρρησιάζεσθαι ἐν συναγωγῇ καὶ ἀκούσαντες αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα προσελάβοντο αὐτὸν καὶ ἀκριβέστερον αὐτῷ ἐξέθοντο τὴν ὁδὸν. 27 *ἐν δὲ τῇ Ἐφέσῳ ἐπιδημοῦντες τινες Κορίνθιοι καὶ ἀκούσαντες αὐτοῦ παρεκάλουν διελθεῖν σὺν αὐτοῖς εἰς τὴν πατρίδα αὐτῶν· συνκατανεύσαντος δὲ αὐτοῦ οἱ Ἐφέσιοι* ἔγραψαν τοῖς ἐν Κορίνθῳ μαθηταῖς *ὅπως* ἀποδέξωνται *τὸν ἄνδρα*, ὃς ἐπιδημήσας *εἰς τὴν Ἀχαίαν* πολὺ συνεβάλ~~λ~~ετο ἐν ταῖς ἐκκλησίαις. 28 εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ διαλεγόμενος καὶ ἐπιδεικνὺς διὰ τῶν γραφῶν τὸν Ἰησοῦν εἶναι Χριστὸν[220].

19.

19, 1 : *Le texte de la vulgate est le suivant* :

(1) Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλῶ εἶναι ἐν Κορίνθῳ Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον καὶ εὑρεῖν τινας μαθητάς…

*Celui du CB est passablement divergent* :

---

[219] Entre crochets : καὶ τῷ ἐπιόντι σαββάτῳ ἐκείνους κατέλιπεν ἐκεῖ αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν διελέγετο τοῖς Ἰουδαίοις. 20 ἐρωτώντων τε αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς οὐκ ἐπένευσεν : Paul « laissa là-bas ceux-là » (Akyla et Priscille) et il va dans une synagogue où il dialogue avec des Juifs qui lui demandent ensuite de rester auprès d'eux. Puis les juifs, au lieu de l'en prier, « l'interrogent » pour qu'ils restent… Je restitue : Paul ne reste pas à Ephèse, il prend congé d'Akyla et de Priscille et embarque pour Césarée. Quant à son vœu, prononcé à Cenchrées (près de Corinthe), qu'il aille à bien plaire. Enfin s'il lui avait fallu célébrer une fête, c'eût été ἐν Ἱεροσόλυμα et non εἰς Ἱεροσόλυμα.

[220] Apollonios (D) a démontré que Jésus était le Christ. Grand bien lui fasse. Il est probable que le conflit à Corinthe entre le parti de Paul et celui d'Apollonios / Apollo reposait sur la question de la « christité » de Jésus. A l'appui de la lettre aux Galates, peut-on supposer que Simon, lui aussi, était un partisan de la christité (céleste) de Jésus ? D'où son annexion par Jean !

Θέλοντος δὲ τοῦ Παύλου κατὰ τὴ ἴδιαν βουλὴν πορεύεσθαι εἰς Ἱεροσολυμα εἶπεν αυτῷ τὸ πνεῦμα ὑποστρέφειν εἰς τὴν Ἀσίαν· διελθὼν δὲ τὰ ἀνωτερικὰ μέρη ἔρχεται εἰς Ἔφεσον καὶ εὑρών τινας μαθητὰς...

*Ce qui suit a toutes les apparences d'une fiction christienne : il est étrange que Paul « dise » à des disciples qu'il rencontre en arrivant à Ephèse « si vous avez reçu l'esprit pur » ! Nous pouvons faire l'économie de cet épisode pour le Mémoire écrit par Silas, et établir le texte comme suit, supposant que Paul, dès la Phrygie où il se trouvait, avait envisagé de retourner à Jérusalem, après un séjour à Ephèse.*

(1) Θέλοντος δὲ τοῦ Παύλου κατὰ τὴ ἴδιαν βουλὴν πορεύεσθαι εἰς Ἱεροσολυμα [~~εἶπεν αυτῷ τὸ πνεῦμα~~] ὑπέστρεψε[221] εἰς τὴν Ἀσίαν· διελθὼν δὲ τὰ ἀνωτερικὰ μέρη ἔρχεται εἰς Ἔφεσον. (8) Εἰσελθὼν δὲ *ὁ Παῦλος* εἰς τὴν συναγωγὴν ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων περὶ τῆς βασιλείας τοῦ θεοῦ. (9) τινες *μὲν οὖν αὐτῶν* ἐσκληρύνοντο καὶ ἠπείθουν κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους […]. Τότε *μὲν* ἀποστὰς *ὁ Παῦλος* ἀπ' αὐτῶν ἀφώρισεν τοὺς μαθητάς, καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός *ἀπὸ ὥρας πέμπτης ἕως δεκάτης*. (10) τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, *ἕως* πάντες τοὺς κατοικοῦντας τὴν Ἀσίαν *ἤκουσαν* τὸν λόγον τοῦ κυρίου, Ἰουδαίους τε καὶ Ἕλληνας[222].

(18) πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. (19) ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων συνενέγκαντες τὰς βίβλους κατέκαιον ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. (20) Οὕτως κατὰ κράτος τοῦ κυρίου ὁ λόγος ηὔξανεν καὶ ἴσχυεν[223]. (21) Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν πορεύεσθαι εἰς Ἱεροσόλυμα, εἰπὼν ὅτι « Μετὰ τὸ γενέσθαι με ἐκεῖ δεῖ με καὶ Ῥώμην ἰδεῖν ». (22) ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχεν χρόνον εἰς τὴν Ἀσίαν.

---

221 ὑποστρέφειν dans le texte ; correction personnelle requise par la nécessité d'introduire un syntagme verbal dans la phrase.

222 [(11) Δυνάμεις *δὲ* οὐ τὰς τυχούσας ὁ θεὸς ἐποίει διὰ τῶν χειρῶν Παύλου, (12) ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἀποφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐκπορεύεσθαι. (13) ἐπεχείρησαν δέ τινες καὶ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ λέγοντες, Ὁρκίζω ὑμᾶς τὸν Ἰησοῦν ὃν Παῦλος κηρύσσει. (14) ἐν οἷς καὶ υἱοὶ Σκευᾶ τινος ἱερέως ἠθέλησαν τὸ αὐτὸ ποιῆσαι ἔθος εἶχαν τοὺς τοιούτους ἐξορκίζειν καὶ εἰσελθόντες πρὸς τὸν δαιμονιζόμενον ἤρξαντο ἐπικαλεῖσθαι τὸ ὄνομα λέγοντες, Παραγγέλλομέν σοι ἐν Ἰησοῦ ὃν Παῦλος ἐξελθεῖν κηρύσσει (15) ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν εἶπεν αὐτοῖς, Τὸν μὲν Ἰησοῦν γινώσκω καὶ τὸν Παῦλον ἐπίσταμαι, ὑμεῖς δὲ τίνες ἐστέ; (16) καὶ ἐφαλόμενος ὁ ἄνθρωπος ἐπ' αὐτοὺς ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν κατακυριεύσας ἀμφοτέρων ἴσχυσεν κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. (17) τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησιν τοῖς κατοικοῦσιν τὴν Ἔφεσον, καὶ ἐπέπεσεν φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ.]
Ni le maître, ni les chrestiens n'ont jamais eu besoin de ce genre d'exploit. Les rédacteurs du NT n'ont reculé devant aucune exploitation de la crédulité.

223 Le texte de ce verset, dans le *Codex,* est défectueux sur le plan grammatical et également sur celui des significations. Que veut dire ἡ πίστις τοῦ θεοῦ […] ἐπλήθυνε ? « La confiance de Dieu fut à son comble » ? « La foi », serait-ce mieux ?

(23) Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ. (24) Δημήτριος γάρ τις ἦν, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, ὅς παρεῖχε τοῖς τεχνίταις οὐκ ὀλίγην ἐργασίαν. (25) οὗτος δὲ συναθροίσας τοὺς περὶ τὰ τοιαῦτα τεχνίτας ἔφη πρὸς αὐτούς· « Ἄνδρες *συντεχνίται*, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῖν ἐστιν, (26) καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον ἕως Ἐφέσου ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι *οὗτοι* οὐκ εἰσὶν θεοὶ οἱ διὰ χειρῶν γινόμενοι. (27) οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐθὲν λογισθῆναι, μέλλειν τε καὶ καθαιρεῖσθαι τῆς μεγαλειότητος αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται. » (5) (28) *ταῦτα δὲ* ἀκούσαντες καὶ γενόμενοι πλήρεις θυμοῦ, *δραμόντες εἰς τὸ ἄμφοδον* ἔκραζον λέγοντες· « Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων ». (29) καὶ *συνεχύθη ὅλη ἡ πόλις*, ὥρμησάν δὲ ὁμοθυμαδὸν εἰς τὸ θέατρον, συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους Παύλου. (30) βουλομένου δὲ Παύλου εἰσελθεῖν εἰς τὸν δῆμον οὐκ εἴων αὐτὸν οἱ μαθηταί· (31) τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. (32) ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον, ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκα συνεληλύθεισαν. (33) ἐκ δὲ τοῦ ὄχλου *κατ*εβίβασαν Ἀλέξανδρον, προβαλλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ Ἀλέξανδρος κατασείσας *τῇ* χεῖρι ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ. (34) ἐπιγνόντες δὲ ὅτι Ἰουδαῖός ἐστιν φωνὴ ἐγένετο μία ἐκ πάντων ὡς ἐπὶ ὥρας δύο κραζόντων· « Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων ». (35) κατα*σείσ*ας δὲ ὁ γραμματεὺς τὸν ὄχλον φησίν·

> « Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἀνθρώπων ὃς οὐ γινώσκει τὴν *ἡμέτεραν* πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης Ἀρτέμιδος καὶ τοῦ διοπετοῦς; (36) ἀναντιρρήτων οὖν ὄντων τούτων δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ μηδὲν προπετὲς πράσσειν. (37) ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους *ἐνθάδε* οὔτε ἱεροσύλους οὔτε βλασφημοῦντας τὴν θεὸν ἡμῶν. (38) εἰ μὲν οὖν Δημήτριος οὗτος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσι πρὸς αὐτούς τινα λόγον, ἀγοραῖοι ἄγονται καὶ ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν ἀλλήλοις. (39) εἰ δέ τι περαιτέρω ἐπιζητεῖτε, ἐν *τῷ* νόμῳ ἐκκλησίας ἐπιλυθήσεται. (40) καὶ γὰρ κινδυνεύομεν σήμερον ἐγκαλεῖσθαι στάσεως, μηδενὸς αἰτίου ὄντος, περὶ οὗ οὐ δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης. »

καὶ ταῦτα εἰπὼν ἀπέλυσεν τὴν ἐκκλησίαν.

20.

(1) Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον *προσκαλεσ*άμενος ὁ Παῦλος τοὺς μαθητὰς [...], ἀσπασάμενος ἐξῆλθεν πορεύεσθαι εἰς Μακεδονίαν. (2) διελθὼν δὲ *πάντα* τὰ μέρη ἐκεῖνα [~~καὶ *χρησάμενος λόγῳ πολλῷ*~~ [224]] ἦλθεν εἰς τὴν Ἑλλάδα[225], (3) ποιήσας τε μῆνας τρεῖς *καὶ γενηθείσ*ης ἐπιβουλῆς αὐτῷ ὑπὸ τῶν Ἰουδαίων, ἐθελήσας μὲν ἀνάγεσθαι εἰς τὴν Συρίαν ἐγένετο δὲ γνώμης τοῦ

---

224 Une liberté que s’est permise un copiste. « Recourir à un abondant *logos* », c’est recourir à de la poudre aux yeux en veux-tu en voilà !

225 C’est-à-dire non « en Grèce », mais en Hellade, une partie du sud de la Thessalie au nord de l’Eubée (région du Pélion, terre d’Achille). Alors, Paul n’est pas allé jusqu’à Corinthe.

ὑποστρέφειν διὰ Μακεδονίας. (4) *μέλλονος αὐτου ἐξίεναι* συνείπ*οντο* δὲ αὐτῷ Σώπατρος Πύρρου Βεροιαῖος, Θεσσαλονικέων δὲ Ἀρίσταρχος καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος καὶ Τιμόθεος, Ἀσιανοὶ δὲ Τυχικὸς καὶ Τρόφιμος.

(5) οὗτοι δὲ προελθόντες ἔμενον ἡμᾶς ἐν Τρῳάδι· (6) ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρῳάδα ἄχρι ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά. […[226]] (13) Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον ἀνήχθημεν ἐπὶ τὴν Ἆσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον, οὕτως γὰρ διατεταγμένος ἦν μέλλων αὐτὸς πεζεύειν. (14) ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἆσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην, (15) κἀκεῖθεν ἀποπλεύσαντες τῇ ἐπιούσῃ κατηντήσαμεν ἄντικρυς Χίου, τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, τῇ δὲ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον· (16) κεκρίκει γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ, ἔσπευδεν γὰρ εἰ δυνατὸν εἴη αὐτῷ τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα.

*La suite du chapitre est consacrée à la rencontre avec les Anciens (presbuteroi) de l'Assemblée d'Ephèse, dont le troupeau est déjà sous la surveillance d'un épiscope. Or en ce temps-là (vers 58), les Assemblées des Chrestiens n'avaient pas encore été transformées en troupeaux, je veux dire, en Eglise.*

*Paul envoie le groupe qui l'accompagne le précéder à Troas, d'où, une première fois, il avait embarqué pour la Macédoine. Silas avait alors joué un rôle décisif ; nous le déduisons du « nous » à travers l'emploi duquel il nous fait comprendre que, à la suite du rêve de Paul, il a joué un rôle (il a été agent) en même temps qu'il est le narrateur de ce qui est raconté. (Le nous ne peut alors recouvrir que deux personnages nommés dans le contexte, Silas et Timothée. Le contexte présent nous confirme que Timothée ne peut pas être le narrateur de la rencontre entre Paul et un personnage à Philippes, puisqu'il est à Troas).*

*Brusquement donc, nous apprenons que le groupe qui accompagnait Paul en Macédoine et en Hellas, « nous devançant, nous attendait à Troas, que nous-mêmes, de notre côté, nous avons quitté Philippes après les jours des azymes et qu'en cinq jours nous les avons rejoints à Troas. »*

*Celui qui dit « nous » est un personnage qui apparaît ou réapparaît au moment où Paul va le chercher à Philippes ; il est le personnage qui raconte (« nous » est un déictique personnel désignant, comme « je », celui qui parle ou écrit) en même temps qu'il est co-agent, membre, de ce point de vue de l'agentivité, d'un couple ou d'un groupe plus étendu. En tant qu'agent, il est, dans la circonstance un nouveau compagnon de Paul, qui va, désormais, participer à tous ses voyages. Nécessairement, le texte*

[226] (7) Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων συνηγμένων ἡμῶν κλάσαι ἄρτον ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον, παρέτεινέν τε τὸν λόγον μέχρι μεσονυκτίου. (8) ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οὗ ἦμεν συνηγμένοι· (9) καθεζόμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω καὶ ἤρθη νεκρός. (10) καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ καὶ συμπεριλαβὼν εἶπεν, Μὴ θορυβεῖσθε, ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. (11) ἀναβὰς δὲ καὶ κλάσας τὸν ἄρτον καὶ γευσάμενος ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρι αὐγῆς οὕτως ἐξῆλθεν. (12) ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλή- θησαν οὐ μετρίως.
On se reportera à l'*Odyssée* pour lire l'original de ce genre de récit.

*tel qu'il se présente à nous est le produit d'une manipulation. Nous savons que Silas était déjà le narrateur de l'arrivée en Macédoine après l'Assemblée de 49 à Jérusalem (cela nous suffit pour déduire qu'il est l'auteur de tout le texte que nous lisons). De ce que nous lisons dans le contexte présent, nous déduisons que, lorsque Paul a quitté Corinthe en 52-53 (il y était au temps de Gallion, en 52 donc), Silas ne l'a pas suivi, n'est pas revenu sur le continent asiatique, probablement n'est pas resté à Corinthe, est revenu à Philippes où il a vécu dans l'entourage probable de Lydie, au milieu d'une Assemblée de Nazaréens composée de juifs et de « païens » (Grecs). Dans la logique de ce qui se passe et de son rôle, nécessairement donc, à ce moment de son récit, Silas expliquait* que Paul était venu le chercher à Philippes, qu'il lui avait expliqué pourquoi il avait besoin de lui – en tant qu'écrivain – et qu'il l'avait convaincu de redevenir son compagnon, de jouer auprès de lui le rôle que Matthieu avait rempli auprès de Jésus.

*Voilà de quelles informations importantes ceux qui ont trafiqué le mémoire de Silas nous ont privés. Est-il bien utile de signaler que ces gens sont considérés comme inspirés par l'esprit saint !*

21.

*Le texte du chapitre 21 dans le Codex est incomplet ; manquent les 18 premiers versets. Mon texte de référence pour l'ensemble du chapitre est donc celui du TLG (Nestle – Aland)*

(1) Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶ, τῇ δὲ ἑξῆς εἰς τὴν Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα· (2) καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην ἐπιβάντες ἀνήχθημεν. (3) ἀναφάναντες δὲ τὴν Κύπρον καὶ καταλιπόντες αὐτὴν εὐώνυμον ἐπλέομεν εἰς Συρίαν, καὶ κατήλθομεν εἰς Τύρον, ἐκεῖσε γὰρ τὸ πλοῖον ἦν ἀποφορτιζόμενον τὸν γόμον. (4) ἀνευρόντες δὲ τοὺς μαθητὰς ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά, οἵτινες τῷ Παύλῳ ἔλεγον [διὰ τοῦ πνεύματος ?] μὴ ἐπιβαίνειν εἰς Ἱεροσόλυμα. (5) ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσευξάμενοι (6) ἀπησπασάμεθα ἀλλήλους, καὶ ἐνέβημεν εἰς τὸ πλοῖον, ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. (7) Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου κατηντήσαμεν εἰς Πτολεμαΐδα, καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς. (8) τῇ δὲ ἐπαύριον ἐξελθόντες ἤλθομεν εἰς Καισάρειαν, καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου ~~τοῦ εὐαγγελιστοῦ~~ ὄντος ἐκ τῶν ἑπτὰ. ἐμείναμεν παρ' αὐτῷ. (9) τούτῳ δὲ ἦσαν θυγατέρες τέσσαρες παρθένοι προφητεύουσαι.

[10-14] : *Un prophète du nom d'Agabos demande à Paul sa ceinture, pour lui lier les mains et les pieds (?), puis il prophétise : les juifs attacheront de la même façon l'homme à Jérusalem et le livreront aux mains des « nations » (ethnoi). On veut retenir Paul, qui se dit prêt à mourir à Jérusalem pour le nom du Seigneur Jésus.*

*En vérité cette prophétie connaît très mal les intentions de Paul, qui acceptera la protection des Romains (des païens) pour échapper à la vindicte des autorités du temple. Quant à Agabos, est-il autre chose qu'un doublet de l'Agabos qui annonçait à Antioche, vers 46, une grande famine ?*

(15) Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι ἀνεβαίνομεν εἰς Ἱεροσόλυμα· (16) συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν Μνάσωνί τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ. (17) Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα ἀσμένως ἀπε- δέξαντο ἡμᾶς οἱ ἀδελφοί. (18) τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι[227] *συνηγμένοι,* (19) οὓς ἀσπασάμενος *δι*ηγεῖτο *ἓν* ἕκαστον ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνεσιν διὰ τῆς διακονίας αὐτοῦ. (20) οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν *κύριον*, εἰπόντες[228]· Θεωρεῖς, ἀδελφέ, *ὅσαι* μυριάδες εἰσὶν ἐν τῇ Ἰουδαίᾳ τῶν πεπιστευκότων, καὶ πάντες οὗτοι ζηλωταὶ τοῦ νόμου ὑπάρχουσιν· (21) κατηχήθησαν δὲ περὶ σοῦ ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως *οὓς* κατὰ τὰ ἔθνη *εἰσίν*[229] Ἰουδαίους, μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα μηδὲ τοῖς ἔθεσιν αὐτοῦ περιπατεῖν. (22) τί οὖν δεῖ πλῆθος συνελθεῖν ; ἀκούσονται γὰρ ὅτι ἐλήλυθας. (23) τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν· εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν. (24) τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς καὶ δαπάνησον ἐπ' αὐτοῖς ἵνα *ξύρωνται*[230] τὴν κεφαλήν, καὶ γνώσονται πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ ὅτι ἐπορεύου αὐτὸς φυλάσσων τὸν νόμον. (25) περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν, *οὐδὲν ἔχουσι λέγειν πρός σε·* ἡμεῖς γὰρ ἐπεστείλαμεν κρίναντες φυλάσσεσθαι αὐτοὺς τό τε εἰδωλόθυτον καὶ αἷμα πνικτὸν καὶ πορνείαν. (26) τότε δὲ Παῦλος παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά.

(27) Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας *ἐληλυθότες*[231] Ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ συνέχεον πάντα τὸν ὄχλον καὶ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας, (28) κράζοντες· « Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχῇ διδάσκων, *ἔτι καὶ* Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ ἐκοινώνησεν τὸν ἅγιον τόπον τοῦτον. » (29) ἦσαν γὰρ προεωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ

[227] Voilà un passage où l'on a oublié d'ajouter : « et les apôtres » !

[228] Le contenu de la réponse des Anciens à Paul ne se comprend que si ce dernier les a informés de son intention de se rendre auprès du Sanhédrin pour rendre compte de l'importance que l'enseignement de Jésus a prise et pour demander sa reconnaissance comme l'une des *haireseis,* l'une des voies recevables par les juifs. Les Anciens lui répondent : étant donné le nombre des adeptes de la Loi, ici, en Judée, tu ne peux pas, quand on te reconnaîtra, ne pas susciter un mouvement de foule contre toi. Le lendemain, il est probablement allé *incognito* dans le temple, les cheveux rasés comme les quatre hommes qu'il accompagnait, pour annoncer la fin de leur vœu et le paiement de l'offrande qu'il assumerait sept jours plus tard.

[229] *Codex Bezae* : τοὺς κατὰ ἔθνη εἰσίν Ἰουδαίοις ! La présence de εἰσίν invite à réécrire : οὕς (ceux qui : attraction du cas sujet par l'antécédent τούς sous-entendu) ἔθνη εἰσίν Ἰουδαίους (sont, parmi les Nations, Juifs).

[230] Inutile de modifier cette forme du subjonctif *aoriste* d'un verbe à liquide.

[231] Précisément parvenus au terme de leur voyage, probablement à la poursuite de Paul. Personne, chez les Chrestiens, n'avait imaginé cette possibilité. Depuis longtemps déjà les autorités du temple étaient décidées à le faire disparaître.

πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος. (30) ἐκινήθη δὲ ἡ πόλις ὅλη καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ, καὶ ἐπιλαβόμενοι τοῦ Παύλου εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι. (31) ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης ὅτι ὅλη συγκέχυται[232] Ἰερουσαλήμ, (32) ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχας κατέδραμεν ἐπ' αὐτούς· οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας ἐπαύσαντο τύπτοντες τὸν Παῦλον. (33) τότε ἐγγίσας ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ καὶ ἐκέλευσεν δεθῆναι ἁλύσεσι δυσί, καὶ ἐπυνθάνετο τίς εἴη καὶ τί ἐστιν πεποιηκώς. (34) ἄλλοι δὲ ἄλλο τι ἐπεφώνουν ἐν τῷ ὄχλῳ· μὴ δυναμένου δὲ αὐτοῦ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν. (35) ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου, (36) ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ κράζοντες· « Αἶρε αὐτόν ». (37) Μέλλων δὲ εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ· « Εἰ ἔξεστίν μοι εἰπεῖν τι πρὸς σέ; » ὁ δὲ ἔφη· « Ἑλληνιστὶ γινώσκεις; (38) οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων; » (39) εἶπεν δὲ ὁ Παῦλος· « Ἐγὼ ἄνθρωπος μέν εἰμι Ἰουδαῖος, Ταρσεὺς τῆς Κιλικίας, οὐκ ἀσήμου πόλεως πολίτης· δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. » (40) ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισεν τῇ χειρὶ τῷ λαῷ.

*Suit un discours que Paul aurait adressé à la foule depuis l'escalier qui conduit sur l'esplanade du temple. Ce discours est une nouvelle occasion, pour l'inventeur des « Actes des Apôtres » de raconter la légende de Paul, conversion comprise.*

*Or, étant donné l'excitation de la foule, il est impossible qu'on l'ait laissé parler. Cherchons donc la suite du chapitre 21 au chapitre 22, à la fin du discours fictif de Paul, 22, 23.*

22

(23) κραυγαζόντων τε αὐτῶν καὶ ῥιπτούντων τὰ ἱμάτια καὶ κονιορτὸν βαλλόντων εἰς τὸν *οὐρανὸν*, (24) ἐκέλευσεν ὁ χιλίαρχος εἰσάγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν, εἴπας μάστιξιν ἀνετά*ζειν* αὐτὸν ἵνα ἐπιγνῷ δι' ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ. (25) ὡς δὲ προσέτειναν αὐτὸν τοῖς ἱμᾶσιν εἶπεν πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον [ὁ Παῦλος]· « Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; » (26) *Τοῦτο δὲ* ἀκούσας ὁ ἑκατοντάρχης *ὅτι Ῥωμαῖον ἑαυτὸν λέγει*, προσελθὼν τῷ χιλιάρχῳ ἀπήγγειλεν *αὐτῷ*· « ὅρα τί μέλλεις ποιεῖν; ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστιν ». (27) Τότε δὲ προσελθὼν ὁ χιλίαρχος ἐπηρώτησεν αὐτόν· « Λέγε μοι, σὺ Ῥωμαῖος εἶ; » ὁ δὲ ἔφη· « Ναί ». (28) ἀπεκρίθη δὲ ὁ χιλίαρχος· « Ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην ». ὁ δὲ Παῦλος ἔφη· « Ἐγὼ δὲ

[232] Συγχύννεται dans *D,* qu'adoptent les spécialistes (il s'agit d'un hapax ; un seul autre emploi à l'actif dans les *Actes*, 9, 22, dans un passage qui n'est pas de la main de Silas). Je suppose que Silas a écrit συγκέχυται.

καὶ γεγέννημαι ». (29) καὶ παραχρῆμα ἔλυσεν αὐτόν. εὐθέως οὖν ἀπέστησαν ἀπ’ αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστιν καὶ ὅτι αὐτὸν ἦν δεδεκώς.

(30) Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς τὸ τί κατηγορεῖται ὑπὸ τῶν Ἰουδαίων [~~ἔλυσεν αὐτόν, καὶ~~] ἐκέλευσεν συνελθεῖν τοὺς ἀρχιερεῖς καὶ πᾶν τὸ συνέδριον, καὶ καταγαγὼν τὸν Παῦλον ἔστησεν εἰς αὐτούς.

23.

(1) ἀτενίσας δὲ τῷ συνεδρίῳ ὁ Παῦλος εἶπεν, Ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ θεῷ ἄχρι ταύτης τῆς ἡμέρας. (2) ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξεν τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα. (3) τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπεν, Τύπτειν σε μέλλει ὁ θεός, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι; (4) οἱ δὲ παρεστῶτες εἶπαν, Τὸν ἀρχιερέα τοῦ θεοῦ λοιδορεῖς; (5) ἔφη τε ὁ Παῦλος, Οὐκ ᾔδειν, ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γὰρ ὅτι Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.

(6) Γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶν Σαδδουκαίων τὸ δὲ ἕτερον Φαρισαίων ἔκραζεν ἐν τῷ συνεδρίῳ, Ἄνδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίων· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. (7) τοῦτο δὲ αὐτοῦ λαλοῦντος ἐγένετο στάσις τῶν Φαρισαίων καὶ Σαδδουκαίων, καὶ ἐσχίσθη τὸ πλῆθος. (8) Σαδδουκαῖοι μὲν γὰρ λέγουσιν μὴ εἶναι ἀνάστασιν μήτε ἄγγελον μήτε πνεῦμα, Φαρισαῖοι δὲ ὁμολογοῦσιν τὰ ἀμφότερα. (9) ἐγένετο δὲ κραυγὴ μεγάλη, καὶ ἀναστάντες τινὲς τῶν γραμματέων τοῦ μέρους τῶν Φαρισαίων διεμάχοντο λέγοντες, Οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ· εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος— (10) Πολλῆς δὲ γινομένης στάσεως φοβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ’ αὐτῶν ἐκέλευσεν τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν.

[11-22] *Invraisemblable roman policier.*

(23) Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατονταρχῶν εἶπεν, Ἑτοιμάσατε στρατιώτας διακοσίους ὅπως πορευθῶσιν ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός, (24) κτήνη τε παραστῆσαι ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα. (25) *ἔγραψε δὲ καὶ ἔδωκεν αὐτοῖς* ἐπιστολὴν ἔχουσαν τὸν τύπον τοῦτον·

> « (26) Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.
>
> (27) Τὸν ἄνδρα τοῦτον συλλημφθέντα ὑπὸ τῶν Ἰουδαίων καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ’ αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλάμην, μαθὼν ὅτι Ῥωμαῖός ἐστιν· (28) βουλόμενός τε ἐπιγνῶναι τὴν αἰτίαν δι’ ἣν ἐνεκάλουν αὐτῷ κατήγαγον εἰς τὸ συνέδριον αὐτῶν· (29) ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου *Μωύσεως καὶ Ἰησοῦ τινος*, μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν ἔχοντα ἔγκλημα. (30) μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα ἔσεσθαι ἐξ αὐτῶν ἔπεμψα πρὸς σέ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν πρὸς αὐτὸν ἐπὶ σοῦ.

Ἔρρωσο. »

(31) Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον ἤγαγον διὰ νυκτὸς εἰς τὴν Ἀντιπατρίδα· (32) τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς ἀπέρχεσθαι σὺν αὐτῷ ὑπέστρεψαν εἰς τὴν παρεμβολήν· (33) οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ. (34) ἀναγνοὺς δὲ καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχείας ἐστὶν καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας, (35) Διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται· κελεύσας ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρῴδου φυλάσσεσθαι αὐτόν.

24.

(1) Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ πρεσβυτέρων τινῶν καὶ ῥήτορος Τερτύλλου τινός, οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου. (2) κληθέντος δὲ αὐτοῦ ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος λέγων,

> « Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ καὶ διορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, (3) πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας. (4) ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. (5) εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσεις πᾶσιν τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην πρωτοστάτην τε τῆς τῶν Γαλιλαίων[233] αἱρέσεως, (6) ὃς καὶ τὸ ἱερὸν ἐπείρασεν βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν *καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι. (7) παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν,* (8) *κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπί σε·* παρ᾽ οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν [<u>τούτου</u>[234]]. »

[(9) συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν[235].]

(10) Ἀπεκρίθη τε ὁ Παῦλος νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν·

> « Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος εὐθύμως τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι, (11) δυναμένου σου ἐπιγνῶναι ὅτι οὐ πλείους εἰσίν μοι ἡμέραι δώδεκα ἀφ᾽ ἧς ἀνέβην προσκυνήσων εἰς Ἰερουσαλήμ, (12) καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον ἢ ἐπίστασιν ποιοῦντα ὄχλου οὔτε ἐν ταῖς συναγωγαῖς οὔτε κατὰ τὴν πόλιν, (13) οὐδὲ παραστῆσαι δύνανταί σοι περὶ ὧν νυνὶ κατηγοροῦσίν μου. (14) ὁμολογῶ δὲ τοῦτό σοι ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν οὕτως λατρεύω τῷ πατρῴῳ θεῷ, πιστεύων πᾶσι

---

233 Ναζωραίων dans tous les manuscrits. Il semble que la qualification soit mise pour « Nazaréens » ; le mot ne peut se rapporter aux « Nazirs » ; il ne désigne pas une « secte » ou une *hairesis*, mais l'état d'un homme qui a fait un vœu. Je propose de restituer Γαλιλαῖων plutôt que Ναζαρηνῶν. L'empereur Julien désigne les christiens sous le nom de Galiléens.

234 αὐτοῦ dans le texte.

235 Est-ce que Tertullos ne parlait pas au nom des Juifs ? Il est probable que la phrase a été interpolée dans le Mémoire dans le contexte des conflits avec les « Ἰουδαῖοι », c'est-à-dire au temps de la refondation du judaïsme par les Tannaïtes. Dans l'Evangile de Jean, par suite dans les autres Evangiles, *Ioudaïos* ne désigne pas « les Juifs » dans leur ensemble, mais les juifs restés fidèles à la loi de Moïse après la destruction du temple. Cette désignation a permis à « Jean », probablement un membre de la caste sacerdotale, de la voie essénienne, d'escamoter le rôle négatif des prêtres dans le conflit entre l'orthodoxie mosaïque et Jésus de Nazareth, puis ses disciples.

τοῖς κατὰ τὸν νόμον καὶ τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις, (15) ἐλπίδα ἔχων εἰς τὸν θεόν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι δικαίων τε καὶ ἀδίκων. (16) ἐν τούτῳ καὶ αὐτὸς ἀσκῶ ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς ἀνθρώπους διὰ παντός. (17) δι᾽ ἐτῶν δὲ πλειόνων ἐλεημοσύνας ποιήσας εἰς τὸ ἔθνος μου παρεγενόμην καὶ προσφοράς [προσφέρων]· (18) ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου οὐδὲ μετὰ θορύβου· (19) τινὲς δὲ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρὸς ἐμέ (20) ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν τί εὗρον ἀδίκημα στάντος μου ἐπὶ τοῦ συνεδρίου (21) ἢ περὶ μιᾶς ταύτης φωνῆς ἧς ἐκέκραξα ἐν αὐτοῖς ἑστὼς ὅτι Περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ἐφ᾽ ὑμῶν. »

(22) Ἀνεβάλετο δὲ αὐτοὺς ὁ Φῆλιξ, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἴπας, Ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ διαγνώσομαι τὰ καθ᾽ ὑμᾶς, (23) διαταξάμενος τῷ ἑκατοντάρχῃ τηρεῖσθαι αὐτὸν ἔχειν τε ἄνεσιν καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν αὐτῷ. (24) Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ ἰδίᾳ γυναικὶ οὔσῃ Ἰουδαίᾳ, *quae petebat ut videret Paulum et audiret verbum ; volens igitur satisfacere ei*[236], μετεπέμψατο τὸν Παῦλον καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς ~~Χριστὸν~~ Ἰησοῦν πίστεως. (25) διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη : « Τὸ νῦν ἔχον πορεύου, καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε »· (26)[…[237]]· διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ. (27) Διετίας δὲ πληρωθείσης ἔλαβεν διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον· […[238]]

25.

(1) Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχείᾳ μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας, (2) ἐνεφάνισάν τε αὐτῷ οἱ ἀρχιερεῖς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτὸν (3) αἰτούμενοι χάριν κατ᾽ αὐτοῦ ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἰερουσαλήμ, […[239]]. (4) [ὁ μὲν

236 En latin, le texte de la tradition syriaque, rangé parmi les versions « occidentales ». Drusilla désirait entendre « verbum ». Sous « verbum », employé ainsi absolument, entendons *ton – pas d'article défini en latin – logon*, « le recueil ». Plus haut a été effacée dans la tradition orientale, dans la lettre de Lysias, l'allusion à des disputes doctrinales (ζητήματα) entre loi « de Moïse et d'un certain Jésus ». Si l'on opposait « loi de Moïse » à « loi de Jésus », c'est que l'on pouvait se référer à cette dernière comme à celle de Moïse : elle était écrite.

237 Je mets entre crochets ἅμα καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου.
Félix était sans doute « Grec », mais il était également d'ascendance royale ; en tant que procurateur, il lui était inutile de rançonner de petites bourses ; il faisait cela en grand seigneur, là où il y avait de la richesse, chez les riches marchands, supposons, *et les grands propriétaires parmi les prêtres.* Félix a repoussé pendant les deux années légales la convocation des autorités du temple. Il a pris un malin plaisir à les impatienter. Il est probable qu'à Rome, du côté du préfet du prétoire (Burrhus) on l'approuvait. Tout a changé à partir du mariage de Néron avec Poppée.

238 θέλων τε χάριτα καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ κατέλιπε τὸν Παῦλον δεδεμένον. Ce n'est certainement pas par complaisance pour les « Ioudaioi » que Félix a gardé Paul prisonnier ; χάριτα καταθέσθαι τοῖς Ἰουδαίοις ne signifie pas d'ailleurs « se montrer complaisant envers les Judéens », mais « se constituer une réserve de reconnaissance par les Judéens ». Or en différant le procès de Paul, Félix ne faisait qu'enrager les autorités du temple.

239 ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν… La juxtaposition de ce groupe du participe à ce qui précède est absurde ; les « Juifs » n'ont certainement pas laissé entendre à Festus qu'ils avaient l'intention de tendre une embuscade pour tuer Paul !

οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ[240], ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι·] (5) Οἱ οὖν ἐν ὑμῖν, φησίν, δυνατοὶ συγκαταβάντες εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ ἄτοπον κατηγορείτωσαν αὐτοῦ. (6) Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας οὐ πλείους ὀκτὼ ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος ἐκέλευσεν τὸν Παῦλον ἀχθῆναι. (7) παραγενομένου δὲ αὐτοῦ περιέστησαν αὐτὸν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιώματα καταφέροντες ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, (8) τοῦ Παύλου ἀπολογουμένου ὅτι Οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε εἰς Καίσαρά τι ἥμαρτον. (9) ὁ Φῆστος δὲ θέλων τοῖς Ἰουδαίοις χάριν καταθέσθαι ἀποκριθεὶς τῷ Παύλῳ εἶπεν· « Θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κριθῆναι ἐπ᾽ ἐμοῦ; » (10) εἶπεν δὲ ὁ Παῦλος, « Ἑστὼς ἐπὶ τοῦ βήματος Καίσαρός εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. (11) εἰ μὲν οὖν ἀδικῶ καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσίν μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι· Καίσαρα ἐπικαλοῦμαι. » (12) τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου ἀπεκρίθη· « Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ. »

(13) Ἡμερῶν δὲ διαγενομένων τινῶν Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασάμενοι τὸν Φῆστον. (14) ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον λέγων·

> - Ἀνήρ τίς ἐστιν καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος, (15) περὶ οὗ γενομένου μου εἰς Ἱεροσόλυμα ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ καταδίκην· (16) πρὸς οὓς ἀπεκρίθην ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. (17) συνελθόντων οὖν ἐνθάδε ἀναβολὴν μηδεμίαν ποιησάμενος τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα· (18) περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν ἔφερον ὧν ἐγὼ ὑπενόουν πονηρῶν, (19) ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτὸν καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν. (20) ἀπορούμενος δὲ ἐγὼ τὴν περὶ τούτων ζήτησιν ἔλεγον εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱεροσόλυμα κἀκεῖ κρίνεσθαι περὶ τούτων. (21) τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ ἀναπέμψω αὐτὸν πρὸς Καίσαρα.

(22) Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον·

> - Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι.
>
> - Αὔριον, φησίν, ἀκούσῃ αὐτοῦ.

[240] τηρεῖσθαι εἰς Καισάρειαν dans la majorité des manuscrits ; ἐν Καισαρειᾳ attesté dans deux manuscrits (voir Tischendorf, 1859, *Acta*, p. 146, note au verset 4). Alessandra Lukinovich me fait remarquer que τηρεῖσθαι εἰς Καισάρειαν est possible en période alexandrine. Et plus loin nous avons τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν !

(23) Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε χιλιάρχοις καὶ ἀνδράσιν τοῖς κατ’ ἐξοχὴν τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου ἤχθη ὁ Παῦλος. (24) καί φησιν ὁ Φῆστος·

- Ἀγρίππα βασιλεῦ καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον περὶ οὗ ἅπαν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, βοῶντες μὴ δεῖν αὐτὸν ζῆν μηκέτι. (25) ἐγὼ δὲ κατελαβόμην μηδὲν ἄξιον αὐτὸν θανάτου πεπραχέναι, αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστὸν ἔκρινα πέμπειν. (26) περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω· διὸ προήγαγον αὐτὸν ἐφ’ ὑμῶν καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως γενομένης σχῶ τί γράψω· (27) ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον μὴ καὶ τὰς κατ’ αὐτοῦ αἰτίας σημᾶναι[241].

26.

(1) Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη·

- Ἐπιτρέπεταί σοι περὶ σεαυτοῦ λέγειν.

τότε ὁ Παῦλος ἐκτείνας τὴν χεῖρα ἀπελογεῖτο·

- (2) Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον ἐπὶ σοῦ μέλλων σήμερον ἀπολογεῖσθαι, (3) μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων· διὸ δέομαι μακροθύμως ἀκοῦσαί μου. (4) Τὴν μὲν οὖν βίωσίν μου ἐκ νεότητος τὴν ἀπ’ ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἔν τε Ἱεροσολύμοις ἴσασι πάντες Ἰουδαῖοι, (5) προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος. (6) καὶ νῦν ἐπ’ ἐλπίδι τῆς εἰς τοὺς πατέρας ἡμῶν ἐπαγγελίας γενομένης ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος, (7) εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι· περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ. (8) τί ἄπιστον κρίνεται παρ’ ὑμῖν εἰ ὁ θεὸς νεκροὺς ἐγείρει;

[Le suite du texte est en note [242]. Sont soulignées et commentées les notions ou affirmations qui ne conviennent pas à ce qu’a été l’action de Paul parmi les Nazaréens.]

---

[241] Forme tardive pour σημῆναι (Alessandra Lukinovich).

[242] (9) ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου (*attesté uniquement dans les Evangiles de Jean et de Matthieu*) δεῖν πολλὰ ἐναντία πρᾶξαι· (10) ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλούς τε τῶν ἁγίων (*ainsi sont désignés les adeptes du Christ dans les Lettres d’Ignace d’Antioche*) ἐγὼ ἐν φυλακαῖς κατέκλεισα τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών, ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον, (11) καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. (12) Ἐν οἷς πορευόμενος εἰς τὴν Δαμασκὸν μετ’ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς τῶν ἀρχιερέων (13) ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους (*divergence d’avec le récit du chapitre 9*)· (14) πάντων τε καταπεσόντων ἡμῶν (*autre divergence*) εἰς τὴν γῆν ἤκουσα φωνὴν λέγουσαν πρός με τῇ Ἑβραΐδι διαλέκτῳ, Σαοὺλ Σαούλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. (15) ἐγὼ δὲ εἶπα, Τίς εἶ, κύριε; ὁ δὲ κύριος (*Comment connaît-il son identité* ?) εἶπεν, Ἐγώ εἰμι (*L’association de la formule avec Jésus remonte à l’Evangile de Jean*) Ἰησοῦς ὃν σὺ διώκεις. (16) ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδές με ὧν τε ὀφθήσομαί σοι (17) ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ ἐκ τῶν ἐθνῶν, εἰς οὓς ἐγὼ ἀποστέλλω σε (*Ce thème de l’élection comme apôtre par le Christ lui-même a été élaboré dans le contexte de*

- (21) ἕνεκα τούτων με Ἰουδαῖοι συλλαβόμενοι [ὄντα] ἐν τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι. (22) ἐπικουρίας οὖν τυχὼν τῆς ἀπὸ τοῦ θεοῦ ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι [~~καὶ Μωϋσῆς~~], (23) εἰ παθητὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, ἀνὴρ χρηστὸς [[243]] μέλλει φῶς καταγγέλλειν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν [τὴν βασίλειαν θεοῦ].

(24) Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ φησιν·

- Μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει.

(25) ὁ δὲ Παῦλος·

- Οὐ μαίνομαι, φησίν, κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. (26) ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτὸν τούτων οὐ πείθομαι οὐθέν, οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο. (27) πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις.

(28) ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον·

- Ἐν ὀλίγῳ με πείθεις *Χρηστιανὸν* ποιῆσαι.

(29) ὁ δὲ Παῦλος·

- Εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν μεγάλῳ οὐ μόνον σὲ ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους ὁποῖος καὶ ἐγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων.

---

*la fondation de l'Eglise. Paul a été élu apôtre par une Assemblée*) (18) ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, <u>τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν θεόν</u> (*thématique essénienne*) τοῦ λαβεῖν αὐτοὺς <u>ἄφεσιν ἁμαρτιῶν</u> καὶ <u>κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει</u> (*thématique christienne*) τῇ εἰς ἐμέ. (5) (19) Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς <u>τῇ οὐρανίῳ ὀπτασίᾳ</u> (*fiction*) (20) ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτόν τε καὶ Ἱεροσολύμοις, πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας καὶ τοῖς ἔθνεσιν <u>ἀπήγγελλον μετανοεῖν</u> (*l'annonce des disciples n'a jamais été une invitation à la repentance*) καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

[243] εἰ παθητὸς ὁ Χριστός, lit-on. Jésus, Christ, est une appellation que les disciples les plus fidèles à la pensée de Jésus n'ont jamais entérinée. Pour Paul, Jésus « ressuscité » était « juge », « fils de l'homme », « éventuellement » *basileus* (juge / Conseiller), mais certainement pas « Christ » « Oint », soit « Prophète, Roi et Prêtre ». Alexandre Faivre (*Chrétiens et Eglises, des identités en construction*. Acteurs, structures, frontières du champ religieux chrétien, Les éditions du Cerf, Paris, 2011) ainsi que son épouse (voir Cécile Faivre et Alexandre Faivre, « 'Chrèstianoi / Christianoi', ce que 'chrétiens' en ses débuts voulait dire », in *Revue d'histoire ecclésiastique*, 2008/3, p. 765-799) offrent la solution au problème que soulève l'établissement du texte, *Actes,* 26, 22-23. Ils ont pu établir que l'appellation de *Khrêstianoi* que se sont donnée les disciples de Jésus était motivée par le portait du « juste » (*dikaios*) dans les chapitres 2, 11 sqq. et 3 de la *Sapientia Salomonis* (Livre de la *Sagesse* écrit en grec vers la fin de l'ère antique), ce juste traité d'*akhrêstos* et de *duskhrêstos* par les impies, qui le maltraitent jusqu'à le mettre à mort pour voir si Dieu viendra à son aide, « à sa rescousse » (*episkopê*) comme il le prétend. La dernière phrase des explications de Paul devant Agrippa et Festus est comme un condensé de la description du destin du juste, de sa souffrance jusqu'à sa survie sous le règne de Dieu, dans les deux chapitres du livre de la *Sagesse.* L'exclamation suivante du roi Agrippa : « Encore un peu, et tu vas me persuader de me faire χρηστιανός » s'explique précisément si l'on fait l'hypothèse que Paul vient d'évoquer celui qui a souffert (subi des mauvais traitements) et a été relevé d'entre les morts en tant qu'ἀνὴρ χρηστός, modèle pour les χρηστιανοί.

(30) *Καὶ ταῦτα εἰπόντος* αὐτοῦ ἀνέστη δὲ ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν ἥ τε Βερνίκη καὶ οἱ συγκαθήμενοι αὐτοῖς, (31) καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους λέγοντες ὅτι « Οὐδὲν θανάτου ἢ δεσμῶν ἄξιον πράσσει ὁ ἄνθρωπος οὗτος. » (32) Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη·

- Ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος εἰ μὴ ἐπεκέκλητο Καίσαρα.

27.

(1) *Καὶ*[244] *οὕτως ἔκρινεν αὐτὸν ὁ ἡγεμὼν ἀναπέμπεσθαι Καίσαρι* καὶ *παρεδίδου* τόν τε Παῦλον καί τοὺς περὶ αὐτὸν ἑκατοντάρχῃ ὀνόματι Ἰουλίῳ σπείρης Σεβαστῆς. *Ὡς δὲ ἐκρίθη καιρὸν εἶναι τοῦ ἀποπλεῖν* ἡμᾶς εἰς τὴν Ἰταλίαν (2) ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ μέλλοντι πλεῖν εἰς τοὺς κατὰ τὴν Ἀσίαν τόπους ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως· (3) τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα, φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος ἐπέτρεψεν πρὸς τοὺς φίλους πορευθέντι ἐπιμελείας τυχεῖν. (4) κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους, (5) τό τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες δι' ἡμερῶν δεκαπέντε κατήλθομεν εἰς Μύρα τῆς Λυκίας. (6) κἀκεῖ εὑρὼν ὁ ἑκατοντάρχης πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. (7) ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην, (8) μόλις τε παραλεγόμενοι αὐτὴν ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς Λιμένας, ᾧ ἐγγὺς πόλις ἦν Λασαία. (9) Ἱκανοῦ δὲ χρόνου διαγενομένου καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος (10) λέγων αὐτοῖς·

- Ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν.

(11) ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ μᾶλλον ἐπείθετο ἢ τοῖς ὑπὸ Παύλου λεγομένοις. (12) ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν οἱ πλείονες ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν, εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον. (13) Ὑποπνεύσαντος δὲ νότου δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον παρελέγοντο τὴν Κρήτην. (14) μετ' οὐ πολὺ δὲ ἔβαλεν κατ' αὐτῆς ἄνεμος τυφωνικὸς ὁ καλούμενος Εὐρακύλων· (15) συναρπασθέντος δὲ τοῦ πλοίου καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ τῷ πνέοντι ἐπιδόντες καὶ συστειλάντες τά ἱστία ἐφερόμεθα. (16) νησίον δέ τι ὑποδραμόντες καλούμενον Καῦδα ἰσχύσαμεν μόλις περικρατεῖς γενέσθαι τῆς σκάφης, (17) […] ἄραντες βοείαις [αἷς] ἐχρῶντο ὑποζωννύντες τὸ πλοῖον[245]· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσιν,

[244] Le texte conventionnellement adopté est le suivant : Ὡς δὲ ἐκρίθη *τοῦ ἀποπλεῖν* ἡμᾶς εἰς τὴν Ἰταλίαν, *παρεδίδουν* τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας. Or il y a là un solécisme, un sujet de verbe au génitif. J'adopte donc la formulation de la tradition syriaque et fait de Festus le sujet de παρεδίδου... Τοῦ ἀποπλεῖν ne peut pas être infinitif nominalisé *sujet du verbe.* Cela oblige à modifier tout le texte en conséquence. En italiques, les corrections que je propose.

[245] τῆς σκάφης, (17) ἣν ἄραντες βοηθείαις ἐχρῶντο ὑποζωννύντες τὸ πλοῖον. Tel est le texte retenu. On traduira donc : « (ils eurent de la peine à maîtriser l'embarcation légère que, ayant soulevé avec des moyens de fortune, ils utilisaient lorsqu'ils ceinturaient (avec elle, la barque !) le navire » ! Supprimons un pronom relatif ne se rattachant à aucun verbe conjugué, écrivons βοείαις au lien de βοηθείαις, déplaçons le relatif devant le verbe qui le régit, au cas voulu (αἷς), on obtient : « ils

χαλάσαντες τὸ σκεῦος, οὕτως ἐφέροντο. (18) σφοδρῶς δὲ χειμαζομένων ἡμῶν τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο, (19) καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἔρριψαν. (20) μήτε δὲ ἡλίου μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο ἐλπὶς πᾶσα τοῦ σῴζεσθαι ἡμᾶς. (21) Πολλῆς τε ἀσιτίας ὑπαρχούσης τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν·

- Ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. (22) καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν, ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν πλὴν τοῦ πλοίου· (23) παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ τοῦ θεοῦ οὗ εἰμι [ἐγώ], ᾧ καὶ λατρεύω, ἄγγελος (24) λέγων, Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι, καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. (25) διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ θεῷ ὅτι οὕτως ἔσται καθ'ὃν τρόπον λελάληταί μοι. (26) εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.

(27) Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν. (28) καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι, βραχὺ δὲ διαστήσαντες καὶ πάλιν βολίσαντες εὗρον ὀργυιὰς δεκαπέντε· (29) φοβούμενοί τε μή που κατὰ τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας ηὔχοντο ἡμέραν γενέσθαι. (30) τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν προφάσει ὡς ἐκ πρῴρης ἀγκύρας μελλόντων ἐκτείνειν, (31) εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις, Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. (32) τότε ἀπέκοψαν οἱ στρατιῶται τὰ σχοινία τῆς σκάφης καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν.

> (33) Ἄχρι δὲ οὗ ἡμέρα ἤμελλεν γίνεσθαι παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς λέγων, Τεσσαρες και δεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε, μηθὲν προσλαβόμενοι· (34) διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς, τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἀπὸ τῆς κεφαλῆς ἀπολεῖται. (35) εἴπας δὲ ταῦτα καὶ λαβὼν ἄρτον εὐχαρίστησεν τῷ θεῷ ἐνώπιον πάντων καὶ κλάσας ἤρξατο ἐσθίειν. (36) εὔθυμοι δὲ γενόμενοι πάντες καὶ αὐτοὶ προσελάβοντο τροφῆς. (37) ἤμεθα δὲ αἱ πᾶσαι ψυχαὶ ἐν τῷ πλοίῳ διακόσιαι ἑβδομήκοντα ἕξ. (38) κορεσθέντες δὲ τροφῆς ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

*Versets 33-38 : je pense que le récit de cet épisode est une interpolation christienne dans le Mémoire de Silas. Il me suffira de relever deux indices langagiers qui laissent entendre un narrateur maîtrisant mal la syntaxe grecque.*

Ἄχρι δὲ οὗ ἡμέρα ἤμελλεν γίνεσθαι, παρεκάλει … *Mot à mot : « Jusqu'au moment où (du ?) jour allait poindre, (Paul) invitait... ». Le narrateur connaît mal le sens de Ἄχρι οὗ ; la corrélation de cette conjonction avec un temps duratif dans la proposition principale a pour effet une absurdité : l'invitation de Paul aux passagers a commencé avant le lever du jour et a duré jusqu'au lever du jour ! Le narrateur commet, pour l'emploi des temps en grec, l'erreur typique d'un usager de langue étrangère.*

---

maîtrisèrent l'embarcation légère qu'ils soulevèrent (sur le navire) avec des lanières de cuir de bœuf dont ils se servaient pour ceinturer le navire » ! Et rendons-nous à l'évidence : ils n'ont pas ceinturé le navire en pleine tempête !

Τεσσαρες και δεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε… Προσδοκάω *est un verbe à deux valences (X -agent- s'attend à Y -objet-). Une oreille grecque entend donc : « Vous attendant aujourd'hui au quatorzième jour… » ! Le narrateur a voulu écrire quelque chose comme : « C'est aujourd'hui le quatorzième jour que vous attendez », il aurait fallu compléter : « la fin de vos souffrances »… « Vous persistez à ne pas prendre de nourriture », continue le narrateur, apparemment avec un pléonasme : « ne vous procurant rien d'autre ». En vérité, il commet des erreurs de langue, mais il est capable de subtilité dans l'usage du vocabulaire et dans l'emploi des cas (« pros » + génitif) : plus qu'une simple nourriture, Paul a de quoi offrir aux passagers une nourriture qui leur permettra de s'approprier le salut qui s'offre à eux, leur sauvetage du péril de la mer, comme un salut qui leur est offert par Dieu, le dieu de Paul. Participer à la prise de nourriture signifiera pour eux qu'ils ont confiance dans le fait que Dieu les sauvera. La preuve : après cela, ils jetteront tout ce qui reste de céréales à la mer.*

*Sur le contenu : pourquoi est-ce Paul, un prisonnier, qui prend l'initiative de manger et d'inviter à manger ? Il invite à 'metalabein trophēs', à participer au partage de la nourriture à disposition non pas « pour le salut », mais en provenance du salut, d'un salut qui est offert. Entre ce qui se passe sur le navire ensuite, λαβὼν ἄρτον εὐχαρίστησεν τῷ θεῷ ἐνώπιον πάντων καὶ κλάσας..., et ce qui se passe lors de la cène (Luc, 22, 19) λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασεν..., la parenté dans la formulation est étroite. Enfin le nombre de 276 « âmes » qui se sont rassasiées de cette nourriture n'est certainement pas factuel ; les passagers sont sur un navire de transport de marchandises, et le nombre des passagers y était très réduit. 276, c'est 12 x 23, un chiffre probablement symbolique, d'une totalité.*

(39) Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον, κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλὸν εἰς ὃν ἐβουλεύοντο εἰ δύναιντο ἐξῶσαι τὸ πλοῖον. (40) καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμωνα τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν. (41) περιπεσόντες δὲ εἰς τόπον διθάλασσον ἐπέκειλαν τὴν ναῦν, καὶ ἡ μὲν πρῷρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας [τῶν κυμάτων]. (42) τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν, μή τις ἐκκολυμβήσας διαφύγῃ· (43) ὁ δὲ ἑκατοντάρχης βουλόμενος διασῶσαι τὸν Παῦλον ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέν τε τοὺς δυναμένους κολυμβᾶν ἀπορίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, (44) καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου· καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

28.

(1) Καὶ διασωθέντες τότε ἐπέγνωμεν ὅτι Μελίτη ἡ νῆσος καλεῖται. (2) οἵ τε βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν, ἅψαντες γὰρ πυρὰν προσελάβοντο πάντας ἡμᾶς διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος.

(3) συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων τι πλῆθος καὶ ἐπιθέντος ἐπὶ τὴν πυράν, ἔχιδνα ἀπὸ τῆς θέρμης ἐξελθοῦσα καθῆψεν τῆς χειρὸς αὐτοῦ. (4) ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ,

πρὸς ἀλλήλους ἔλεγον, Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν. (5) ὁ μὲν οὖν ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ ἔπαθεν οὐδὲν κακόν· (6) οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλόμενοι ἔλεγον αὐτὸν εἶναι θεόν.

*Seule une couleuvre, en mordant un main, peut s'y attacher en raison de la courbure de ses crocs. Si l'anecdote est authentique, l'*eghidna *dont il est question était une couleuvre, qui ne s'est détachée de la main que parce que Paul l'a secouée au-dessus du feu et à son contact. Alessandra Lukinovich me fait remarquer avec raison que la crédulité est, non celle de Silas, mais celle des habitants de l'île, et j'ajouterai, celle du commentateur et traducteur de la TOB (1989).*

(7) Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχεν χωρία τῷ πρώτῳ τῆς νήσου ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. [...8-10[246]]

(11) Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις. (12) καὶ καταχθέντες εἰς Συρακούσας ἐπεμείναμεν ἡμέρας τρεῖς, (13) ὅθεν περιελόντες κατηντήσαμεν εἰς Ῥήγιον. καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, (14) οὗ εὑρόντες ἀδελφοὺς παρεκλήθημεν παρ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά·

> (14-15) καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθαμεν. (15) κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν ἦλθαν εἰς ἀπάντησιν ἡμῖν ἄχρι Ἀππίου Φόρου καὶ Τριῶν Ταβερνῶν, οὓς ἰδὼν ὁ Παῦλος εὐχαριστήσας τῷ θεῷ ἔλαβε θάρσος.

*Du point de vue formel, Silas emploie l'aoriste second en -o-, ἦλθον. Dans le contexte du récit de la pêche avec Simon, la vulgate porte le texte suivant (5, 7) : « καὶ κατένευσαν ... τοῦ ἐλθόντας συλλαβέσθαι [...]. καὶ ἦλθαν, καὶ ἔπλησαν... ». Texte du Codex Bezae : « καὶ κατένευον τοῖς μετόχοις ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας βοηθεῖν αὐτοῖς· ἐλθόντες οὖν, ἔπλησαν... »*

*La syntaxe de la vulgate est parataxique, celle du Codex est précisément syn-taxique, de style grec standard ou si l'on veut indo-européen.*

Actes des Apôtres, *fin du chapitre 16, la vulgate a retenu : « ἐξελθόντες ... εἰσῆλθον πρὸς τὴν Λυδίαν, καὶ ἰδόντες παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐξῆλθαν. »*

*Εἰσῆλθον, ἐξῆλθαν : quel est l'intrus ? Le Codex atteste le texte suivant : « καὶ ἰδόντες τοὺς ἀδελφοὺς διηγήσαντο ὅσα ἐποίησεν* κύριος αὐτοῖς *παρακαλεσάντες αὐτοὺς καὶ ἐξῆλθαν. » En guise de synthèse*

[246] (8) ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίῳ συνεχόμενον κατακεῖσθαι, πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος ἐπιθεὶς τὰς χεῖρας αὐτῷ ἰάσατο αὐτόν. (9) τούτου δὲ γενομένου καὶ οἱ λοιποὶ οἱ ἐν τῇ νήσῳ ἔχοντες ἀσθενείας προσήρχοντο καὶ ἐθεραπεύοντο, (10) οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὰς χρείας.
Les miracles ne sont jamais en faveur de la cause que leurs inventeurs prétendent défendre. Croire défendre la valeur d'un enseignement ou d'une doctrine en l'appuyant sur des miracles accomplis par les propagateurs de cet enseignement, c'est faire le choix de s'adresser à la crédulité de l'ignorance et laisser entendre que Dieu a besoin de toutes sortes de passe-passe pour se faire accroire.

*entre les deux versions (de la vulgate et du CB), je propose la lecture suivante :* ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς *ἦλθον* πρὸς τὴν Λυδίαν καὶ ἰδόντες τοὺς ἀδελφοὺς καὶ παρακαλέσαντες αὐτοὺς ἐξῆλθον.

*Une main christienne a modifié le texte de Silas comme elle a modifié le récit qui précède : « tout ce que le Seigneur – et non le Maître, puisque ce Kurios fait des miracles – a fait » c'est ce que l'auteur des* Actes *vient d'inventer, une libération miraculeuse de deux prisonniers. Et c'est donc l'interpolateur de sa fiction dans le* Mémoire *de Silas qui a réécrit : « καὶ ἐξῆλθαν », alors que le même contexte atteste* ἐξελθόντες *puis* ἦλθον.

*Si la terminaison -αν des aoristes seconds est étrangère à Silas, en revanche elle faisait partie du grec de Paul, dont Silas cite ce qu'il a dit aux gardiens ; pour Paul, « ils nous ont jeté en prison » se dit : « ἔβαλαν εἰς φυλακήν » !*

*Du point de vue du contenu, dans la suite, il ne sera nullement question des « frères » de Rome, uniquement des Ioudaioi, des adeptes de la Loi de Moïse, qui ne connaissaient la doctrine des Nazaréens que par ouï-dire ; s'il y avait eu à Rome des Galiléens / Chrestiens, les Judéens auraient déjà été instruits de leur doctrine, c'est-à-dire de l'enseignement de Jésus de Nazareth. Enfin, l'espérance d'Israël, ce n'est pas l'instauration d'une royauté dans le Nord (en Ephraïm / Samarie), c'est l'instauration d'un « règne de Dieu ».*

(16) Ὅτε δὲ εἰσήλθομεν εἰς Ῥώμην, ἐπετράπη τῷ Παύλῳ μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. (17) Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι αὐτὸν τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους· συνελθόντων δὲ αὐτῶν ἔλεγεν πρὸς αὐτούς·

> - Ἐγώ, ἄνδρες ἀδελφοί, οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων, (18) οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί· (19) ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορεῖν. (20) διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι, ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι. »

(21) οἱ δὲ πρὸς αὐτὸν εἶπαν·

> - Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέν τι περὶ σοῦ πονηρόν. (22) ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς, περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστὸν ἡμῖν ἐστιν ὅτι πανταχοῦ ἀντιλέγεται.

(23) Ταξάμενοι δὲ αὐτῷ ἡμέραν ἦλθον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ θεοῦ πείθων τε αὐτοὺς περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν ἀπὸ πρωῒ ἕως ἑσπέρας. (24) καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν· (25) ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἓν ὅτι

> « Καλῶς·

Τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησεν διὰ Ἠσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ὑμῶν (26) λέγων,

Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπόν,

Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε,

καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε·

(27) ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου,

καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν,

καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν·

μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς

καὶ τοῖς ὠσὶν ἀκούσωσιν

καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν,

καὶ ἰάσομαι αὐτούς.

(28) γνωστὸν οὖν ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ θεοῦ· αὐτοὶ καὶ ἀκούσονται. »

(30) Ἐνέμεινεν δὲ διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν, (31) [~~κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ καὶ~~] διδάσκων τὰ περὶ τοῦ κυρίου Ἰησοῦ [...[247]] μετὰ πάσης παρρησίας ἀκωλύτως.

[247] Χριστοῦ a été rajouté. Τὰ περὶ τοῦ κυρίου Ἰησοῦ διδάσκειν, c'est enseigner la doctrine d'un « maître », d'un « rabbi ».